ἑπτά, ἐξ ὧν ἄν τις ἐννέα ἐξέλοι ἐνιαυτούς, οὓς ἐπὶ τῆς ἱερᾶς Ῥώμης ἔτυχε βασιλεύσας Κωνσταντῖνος. συνάγεται δὴ ἀπὸ τοῦ πολισμοῦ τῆσδε τῆς εὐδαίμονος πόλεως πέντε καὶ δέκα καὶ διακόσια ἔτη πρὸς μησὶν ἑπτά. συνέλοι οὖν ἄν τις ἀπὸ Αἰνείου ἕως τῆς Ἀναστασίου τοῦ χρηστοῦ τελευτῆς τοὺς πάντας ἐνιαυτοὺς ἓξ καὶ τεσσαράκοντα πρὸς ἑπτακοσίοις καὶ χιλίοις πρὸς μησὶν ἑπτά, ὡς Ἕλληνες οἴονται κατὰ πάντας τοὺς ἑκατέρας φωνῆς συγγραφέας. τούτων οὕτως ἡμῖν σὺν ἀληθείᾳ τεθέντων, καιρός ἐστιν περὶ τῶν ἀρχῶν, ὡς εἴρηται, τοῦ καθ' ἡμᾶς διαλαβεῖν πολιτεύματος.

3. Ῥωμύλος τοίνυν ὀκτὼ πρὸς τοῖς δέκα ἔτεσι γεγονὼς σὺν τῷ ἀδελφῷ Ῥέμῳ τὴν μητέρα τῆς βασιλείας Ῥώμην ἐδείματο. ὄνομα δὲ τῆς ἀρχῆς αὐτῶν, ὃ Ἰταλοὶ λέγουσι ῥήγιον οἷον τυραννικόν· οὐδὲ γὰρ βασιλείας Ῥωμαϊκῆς ἐννόμου ἐστὶ σημαντικόν, ὥς τινες ὑπολαμβάνουσι, τὸ ῥήγιον ὄνομα· ὅθεν οὐκέτι μετὰ τὴν ἐκβολὴν τῶν ῥηγῶν παρὰ Ῥωμαίοις καίτοι βασιλευομένοις ἐχρημάτισεν. ἕτερον γὰρ τὸ τῆς ἐννόμου βασιλείας καὶ ἕτερον τὸ τυραννίδος καὶ ἄλλο τὸ τῆς αὐτοκρατορίας ἀξίωμα· καὶ ὅπως, διὰ βραχέων ἐρῶ. βασιλεύς ἐστιν ὁ τῶν ἑαυτοῦ ὑπηκόων πρῶτος ψήφῳ ἐπιλελεγμένος ἐπὶ βάθραν τινὰ ὥσπερ καὶ κρηπῖδα, τύχης κρείττονος ὑπὲρ τοὺς ἄλλους λαχών· ὡς Σοφοκλῆς περὶ Αἴαντος εἶπεν, ἔχειν αὐτὸν βάθραν τῆς ἀγχιάλου Σαλαμῖνος. ἴδιον δὲ βασιλέως ἐστὶ τὸ μηδένα καθάπαξ τῶν τοῦ πολιτεύματος νόμων σαλεύειν, ἀλλ' ἐγκρατῶς

v. 24 Soph. Ai. v. 135

v. 2 ἔτυχεν *O*, ν in corr. 23 ἐπιβάθραν coni. *B* 25 βάθρα *O*, βάθραν coni. O_2 *F*, βάθρον Soph. 27 τὸν ... νόμον O, corr. F

τὴν ὄψιν τῆς ἑαυτοῦ πολιτείας βασιλείᾳ διατηρεῖν· καὶ μηδὲν μὲν κατ' αὐθεντίαν ἔξω τῶν νόμων πράττειν, τὸ δὲ τοῖς ἀρίστοις τοῦ πολιτεύματος συναρέσκον ψήφοις οἰκείαις ἐπισφραγίζειν, πατρὸς ἅμα καὶ ἡγεμόνος στοργὴν περὶ τοὺς ὑπηκόους ἐνδεικνύμενον, ὁποῖον ἡμῖν θεὸς καὶ καιροῦ δεξιότης ἐχαρίσατο. ἀλλ' οὐχ οὕτως ὁ τύραννος τοὺς ὑπ' αὐτῷ πεσόντας διαθήσεται, πράξει δὲ κατ' ἐξουσίαν ἀλόγως, εἴτι καὶ βούλεται, μηδὲ νόμους τιμᾶν ἀξιῶν μηδὲ γράφειν μετὰ βουλῆς ἀνεχόμενος, ταῖς δὲ οἰκείαις ὁρμαῖς ἐξαγόμενος. ἔστι γὰρ βασιλέως μὲν τρόπος ὁ νόμος, τυράννου δὲ νόμος ὁ τρόπος.

4. Τὸ γὰρ τῶν Καισάρων ἤγουν αὐτοκρατόρων ἐπώνυμον οὐδὲ βασιλείας ἀλλ' οὐδὲ τυραννίδος ἐστὶ σημαντικόν, αὐταρχίας δὲ μᾶλλον καὶ αὐθεντίας τοῦ διοικεῖν τοὺς ἐξανισταμένους κατὰ τῶν κοινῶν θορύβους ἐπὶ τὸ κάλλιον ἐπιτάττειν τε τῷ στρατεύματι, πῶς ἂν δέοι μάχεσθαι τοῖς ἐναντίοις. imperare γὰρ τὸ ἐπιτάττειν παρ' Ἰταλοῖς λέγεται, ἔνθεν ἰνπεράτωρ. ὅτι δὲ βασιλείας οὐκ ἔστι σημαντικὸν τὸ αὐτοκράτορος ἢ Καίσαρος ὄνομα, δῆλον ἄντικρυς τῷ καὶ τοὺς ὑπάτους καὶ μετ' ἐκείνους τοὺς Καίσαρας τὸ τῶν λεγομένων ἰνπερατόρων ⟨ὄνομα⟩ ἀξίωμα τῆς ἐπωνυμίας λαβεῖν. οὐδὲ γὰρ ἐπισήμοις τυραννικοῖς φαίνεται χρησαμένη ἡ τῶν Καισάρων ἀρχή, ἁλουργίδι δὲ μόνῃ τὴν Ῥωμαίων βουλὴν ἀναβαίνουσα καὶ τὰς ἐν ὅπλοις δυνάμεις, αὐτοκρατῶς, ὡς ἔφην, ἰθύνουσα. ταύτῃ καὶ πρίγκιπας αὐτοὺς ἐκάλεσαν Ῥωμαῖοι, οἱονεὶ πρώτην κεφαλὴν τῆς

v. 4 *οἰκίοις O*, corr. *F*   8 *ειτι O*, *ὅ,τι* coni. *B*   17 ΙΠΠΡΕΓΑΠΕ cod.   20 *τὸ O*, *τῷ* corr. *F*   22 *ὄνομα* addidi | *τῆς ἐπωνυμίας O*, *ἐπωνυμίαν* coni. *F* ep. p. 13   25 *ἀναβαίνουσαν O*, corr. *F*

πάσης πολιτείας. τὸ γὰρ Καίσαρος ὄνομα γένους ἐστὶ δεικτικὸν ἀπὸ τοῦ πρώτου Καίσαρος, ὥσπερ Φαβίων καὶ Κορνηλίων καὶ Φλαβίων καὶ Ἀνικίων, τούτου πρότερον παρὰ βαρβάροις ηὑρημένου. Αἰγύπτιοι μὲν γὰρ ἀπὸ τοῦ πρώτου Φαραῶνος τούς σφων βασιλέας ἐπεφήμιζον Φαραῶνας, καὶ Πτολεμαίους ἀπὸ τοῦ πρώτου. ἐφυλάχθη οὖν παρὰ Ῥωμαίοις ἡ τοιαύτη τῶν Καισάρων εὐταξία ἄχρι Διοκλητιανοῦ, ὃς πρῶτος στέφανον ἐκ λίθου τιμίας συγκείμενον τῇ κεφαλῇ περιθεὶς ἐσθῆτά τε καὶ τοὺς πόδας ψηφώσας ἐπὶ τὸ βασιλικόν, ἢ τάληθὲς εἰπεῖν ἐπὶ τὸ τυραννικὸν ἔτρεψεν, ἀνεμετρήσατό τε τὴν ἤπειρον καὶ τοῖς φόροις ἐβάρυνεν.

5. *Ὥστε τύραννος ἦν ὁ Ῥωμύλος, πρῶτον μὲν τὸν ἀδελφὸν ἀνελὼν καὶ τὸν μείζονα, καὶ πράττων ἀλόγως τὰ προσπίπτοντα. ταύτῃ καὶ Κυρῖνος προσηγορεύθη, οἱονεὶ κύριος· κἂν εἰ Διογενιανῷ τῷ λεξογράφῳ ἄλλως δοκῇ· οὐδὲ γὰρ ἀγνοήσας ὁ Ῥωμύλος, ἢ οἱ κατ' αὐτόν, δείκνυται κατ' ἐκεῖνο καιροῦ τὴν Ἑλλάδα φωνήν, τὴν Αἰολίδα λέγω, ὥς φασιν ὅ τε Κάτων ἐν τῷ περὶ Ῥωμαϊκῆς ἀρχαιότητος, Βάρρων τε ὁ πολυμαθέστατος ἐν προοιμίοις τῶν πρὸς Πομπήϊον αὐτῷ γεγραμμένων, Εὐάνδρου καὶ τῶν ἄλλων Ἀρκάδων εἰς Ἰταλίαν ἐλθόντων ποτὲ καὶ τὴν Αἰολίδα τοῖς βαρβάροις ἐνσπειράντων φωνήν. ἡ γὰρ γραμματικοῖς παρὰ ταύτην εἰσαγομένη ἐτυμολογία, μετὰ συγγνώμης, βεβίασται. ἀπὸ*

v. 19 Cato Orig. l. I frg. 19, H. Peter, Hist. Rom. rell. p. 57

v. 6 *πρώτου Πτολεμαίου* coni. *B* 9 *συνκείμενον O*, *συγκείμενον* O_2 12 *φόρ . οις* una littera erasa *O* 16 *λεξογράφω O*, *λεξικογράφῳ* coni. *B*, *λεξιγράφῳ* L. Dindorf 18 *ἐκείνου O*, *ἐκεῖνο* corr. O_2 *F* 21 *πομπήιον O*, *Πομπώνιον* coni. L. H. Krahner de Varronis antiqu. p. 20, sed vide Fr. Ritschl, op. III 376. 470 22 *ἀλκάδων O*, corr. F

Κύρεως γάρ, πολίχνης Σαβίνων, οὕτως αὐτὸν παρονομασθῆναι βούλονται, καίπερ οὐχ ὁρμώμενον ἐκεῖθεν, ἐπὶ δὲ τοῦ Παλατίνου βουνοῦ τεχθέντα τε παρὰ ταῖς ὄχθαις τοῦ Τιβέριδος καὶ τραφέντα ἐκεῖ. κυρίους γὰρ ἑαυτοὺς καὶ δεσπότας, ἀλλ' οὐ βασιλέας, τύραννοι φιλοῦσι καλεῖσθαι.

6. *Κρεῖττον δὲ βασιλείας τὸ Καίσαρος ἀξίωμα, ὅτι καὶ δοῦναι βασιλέας πάλαι τοῖς ἔθνεσιν ἐπ' ἐξουσίας εἶχε. μισητὸν γὰρ καὶ Ῥωμαϊκῆς ἐλευθερίας ἀλλότριον, δεσπότας, ἀλλὰ μὴ βασιλέας, τοὺς κρατοῦντας ὀνομάζειν· καθότι δεσπότης ὄνομα κοινόν ἐστιν αὐτοῖς καὶ τοῖς ἕνα δραπέτην κεκτημένοις, τὸ δὲ βασιλέων αὐτῶν καὶ μόνων. καὶ δῆλον ἄντικρυς, ὅτι Ῥωμαίοις ἔθος* dominos *τοὺς τυραννήσαντας ἀποκαλεῖν, ὡς δὴ Σύλλαν καὶ Μάριον, καὶ δομινατιῶνα τὴν τυραννίδα· ὡς καταρρίπτουσι τὴν βασιλέων μεγαλειότητα οἱ πονηροὶ κόλακες, ἐξ ἀμαθείας δούλων αὐτοὺς πρωτεύειν εἰσάγοντες. ὅτι δὲ ἀληθές, ἔξεστι καὶ ἐκ τούτων λαβεῖν. Αὔγουστός ποτε ἢ τάχα Τιβέριος ὁ μετ' αὐτὸν πρὸς ἑνὸς τῶν κολάκων δεσπότης ὀνομασθείς, ἐξαναστὰς ἀφῆκε τὸν σύλλογον, ἀπαξιώσας, ὡς ἔφη, δούλοις διαλέγεσθαι. ἀλλ' ἤδη πρότερον ὥσπερ ἐν τιμῇ τῆς ὕβρεως εἰσαχθείσης, ἀνέχεται ἡ τοῦ ἡμερωτάτου βασιλέως ἡμῶν ἐπιείκεια, καίπερ ὑπὲρ πάντας τοὺς πώποτε βεβασιλευκότας μετριάζοντος, καὶ δεσπότης, οἷον πατὴρ ἀγαθός, ὀνομάζεσθαι· οὐχ ὅτι χαίρει, ἀλλ' ἐρυθριᾷ μᾶλλον, τοὺς τιμᾶν οἰομένους δοκεῖν μὴ προσίεσθαι.*

v. 8 *επεξουσιας O, ἐπ' ἐξουσίας* corr. *F* ep. p. 13 13 *μόνον O, μόνων* coni. *F* | ᴅᴏᴍɪɴᴏs cod. 24 *ἐπιεικια O*, corr. O_2 27 *προσειέσθαι O, προσίεσθαι* corr. O_2

Περὶ τῶν ἐπισήμων τοῦ ῥηγός.

7. *Καὶ πρὸ Ῥωμύλου ἐπίσημα τῆς Λατίνων βασιλείας ἦν θρόνος δρύφακτος καὶ στολὴ ἡ λεγομένη παρ' αὐτοῖς τραβαία· ποδαπὴ δέ τις ἦν, μικρὸν ὕστερον ἐρῶ. ὅθεν ὁ Ῥωμαίων ποιητὴς ἐν βιβλίῳ ἑβδόμῳ τῆς Αἰνηΐδος τὴν Λατίνου διαγράφων βασιλείαν θρόνου καὶ τραβαίας διαμέμνηται. τῷ γε μὴν Ῥωμύλῳ καὶ στέφανος ἦν καὶ σκῆπτρον ἀετὸν ἔχον ἐπ' ἄκρου καὶ φαινόλης λευκὸς ποδήρης, ἀπὸ τῶν ὤμων ἔμπροσθεν μέχρι ποδῶν πορφυροῖς ὑφάσμασιν ῥεραβδωμένος — ὄνομα δὲ τῷ φαινόλῃ τόγα, οἱονεὶ σκέπασμα, ἀπὸ τοῦ τέγερε κατ' ἀντίστοιχον· οὕτω γὰρ τὸ σκέπειν Ῥωμαῖοι καλοῦσι — καὶ ὑπόδημα φοινικοῦν· κόθορνος ὄνομα αὐτῷ κατὰ τὸν Κοκκήϊον. καὶ κοινὸν ἦν τουτὶ τὸ σχῆμα τῆς λεγομένης τόγας αὐτῷ τε τῷ λεγομένῳ ῥηγὶ τοῖς τε ὑπηκόοις ἐπ' εἰρήνης· ἡ μέντοι τραβαία μόνου τοῦ ῥηγὸς ἐτύγχανε παρατοῦρα, οἱονεὶ στολὴ ἐπίσημος. χιτὼν δὲ ἦν καὶ περιβόλαιον ἡμικύκλιον, ὃ πρῶτον Ἀγαθοκλέα τὸν Σικελίας τύραννον ἐξευρεῖν λόγος. τὸν δὲ θρόνον σόλιον ἐπιχωρίως ὠνόμαζον ἀντὶ τοῦ σέλλιον κατ' ἀντίστοιχον, ὥς φησιν ὁ Ῥωμαῖος Ἄσπρος· ἢ καὶ ἄλλως σόλιον ἀντὶ τοῦ σόλιδον ἐκάλουν, οἱονεὶ ὁλόκληρον. στέλεχος γὰρ ἁδρὸν εἰς κυτίδα καὶ καθέδρας τύπον ἐξορύττοντες ἀπετέλουν βῆμά τι ⟨τῇ⟩ βασιλείᾳ,*

v. 5 Verg. Aen. VII 169. 188 14 Cass. Dion. l. I frg. 6, 1ᵃ (ed. Boissevain I p. 10)

v. 4 *τραβαβαια O*, corr. O_2 7 *τραβεα O, τραβαίας* O_2 10 *ῥεραβδόμενος O, ῥεραβδώμενος* O_2, *ἐρραβδωμένος F, ῥεραβδωμένος* corr. Boissonade Anecd. gr. III 133 11 *τῶ φαινόλης O*, corr. *F* 14 *κοκκηον O, κοκκιον* O_2, corr. *B* 24 *βήματι βασιλέα O, βήματι βασιλεια* manus quaedam recentior nullo alio

ἵνα ὥσπερ ἔν τινι θήκῃ κατησφάλισται τὸ σῶμα τοῦ βασιλέως, ἔκ τε νώτου ἔκ τε πλευρᾶς ἑκατέρας μηδεμιᾶς ἁρμογῆς ἢ προσθέτου ξύλου σφίγγοντος τὴν καθέδραν, ἅπαξ ὁλοτελῆ καὶ ὁλόκληρον τυγχάνουσαν. ταύτῃ σόλιον τὸν βασιλέως θρόνον ἐκάλουν.

8. Πρὸς τούτοις ἡγοῦντο τοῦ Ῥωμύλου πελέκεις δυοκαίδεκα πρὸς τὸν ἀριθμὸν τῶν γυπῶν, ὧν εἶδεν ἀρχόμενος θεμελιοῦν τὴν πόλιν. Πρίσκου δὲ Ταρκυνίου τοῦ ῥηγὸς ὕστερον Θούσκους καὶ Σαβίνους πολέμῳ νικήσαντος προσετέθησαν τοῖς τῆς βασιλείας γνωρίσμασι δόρατα ἐπιμήκη, ὡσαύτως τὸν ἀριθμὸν δυοκαίδεκα, ἀκροξιφίδας μὲν οὐκ ἔχοντα, ᾐωρημένας δὲ λοφιάς· καλοῦσι δὲ αὐτὰς οἱ μὲν Ῥωμαῖοι ἰούβας, οἱ δὲ βάρβαροι τούφας, βραχύ τι παραφθαρείσης τῆς λέξεως· βήξιλλα πρὸς τούτοις οἱονεὶ δόρατα μακρὰ ἐξηρτημένων ὑφασμάτων — φλάμμουλα αὐτὰ ἀπὸ τοῦ φλογίνου χρώματος καλοῦσι —, περὶ ὧν ἐν τοῖς περὶ μηνῶν γραφεῖσιν ἡμῖν ἀποχρώντως ἀνήνεκται.

9. Τοιαῦτα μὲν τὰ ἐπίσημα τῆς τότε βασιλείας· περὶ δὲ τῆς ἐν ὅπλοις στρατιᾶς Πάτερνος ὁ Ῥωμαῖος ἐν πρώτῃ τακτικῶν αὐτοῖς ῥήμασι καθ᾽ ἑρμηνείαν ταῦτά φησιν· ʽὁ Ῥωμύλος δεκουριῶνας τῶν ἱερῶν φροντιστὰς προεστήσατο, τοὺς αὐτοὺς καὶ κεν-

v. 18 de mens. p. 17, 16

loco obvia, quae ne ipsius Fussii sit vereor, qui *βῆμα τῇ βασιλείᾳ* coniecit; *βῆμα τι βασιλέως* coni. Th. Preger, *βῆμά τι ⟨τῇ⟩ βασιλείᾳ* scripsi

v. 6 *ἤγοντο O*, *ἡγοῦντο* corr. *F*; vide infra p. 33, 10 *πελέκεις ἡγούμενοι* 12 *εἰωριμένας O*, corr. O_2 18 *ανηνεκται O*, *ἀνενήνεκται* coni. *B* 19 post *βασιλείας* paragraphos distinguit *F* 20 *στρατείας O*, *στρατιᾶς* O_2 saepius 22 *δὲ κουρίωνας O*, *δεκουρίων O* marg., *δεκουριῶνας* scripsi 23 *κεντουρίωνας* et p. 15, 4 *κεντουρίωνα O*, *κεντυρίων O* marg., unde *κεντυρίωνας* et *κεντυρίωνα* O_2

τουριῶνας τῶν πεζικῶν ταγμάτων ὀνομάσας. τρισχιλίων γὰρ ὄντων πεζῶν ἀσπιδιωτῶν ἑκάστης ἑκατοντάδος ἡγεμόνα προὔθηκεν, ὃν Ἕλληνες μὲν ἑκατόνταρχον, Ῥωμαῖοι δὲ κεντουριῶνα καλοῦσιν· ὡς εἶναι τοὺς πάντας ἑκατοντάρχους λ′ καὶ τοσούτους δὲ μανιπλοῦς οἱονεὶ σημειοφόρους. ἐκ δὲ τῆς στρατιᾶς τριακοσίους σκουτάτους'— ὡς Ῥωμαῖοί φασιν ἀντὶ τοῦ ἀσπιδιώτας — 'πρὸς φυλακὴν ἰδίαν ἀφώρισε·' — καὶ μικρὸν ὕστερον εἰρήσεται, τί μέν ἐστι κλιπεᾶτος, τί δὲ σκουτᾶτος στρατιώτης — 'προστέθεικε δὲ καὶ τριακοσίους ἱππότας ταῖς δυνάμεσι, Κελερίῳ τινὶ οὕτω καλουμένῳ τὴν φροντίδα τούτων παραδούς. ταύτῃ συνεκδοχικῶς ἅπας ὁ στρατὸς κελέριοι τότε προσηγορεύθησαν. ἐν τρισὶ δὲ ἑκατοντάσι συναγομένης τῆς ἱππικῆς δυνάμεως, τρισὶν ἐπωνύμοις αὐτὰς διέστειλε, Ῥαμνίτας καὶ Τιτίους ἰστῶν καὶ Λούκερας'. τὰς δὲ αἰτίας τουτωνὶ τῶν ὀνομάτων ἐν τοῖς περὶ μηνῶν, ὡς εἴρηται, τεθεῖσιν ἡμῖν ἀποδεδώκαμεν.

10. Εἰπεῖν δὲ καιρός, τί διαφέρει σκοῦτον κλιπέου. σκοῦτον τοίνυν οἱ Ῥωμαῖοι καλοῦσι τὸ ἰσχυρὸν ἅμα καὶ ἰσχνόν, ὅπερ Ἕλληνες στιπτὸν ὀνομάζουσιν ἀντὶ τοῦ στιβαρόν, ὡς Ἀριστοφάνης ἐν Ἀχαρνεῦσι 'στιπτοὶ γέροντες, Μαραθωνομάχοι πρίνινοι'. ταύτῃ καὶ σκουτλᾶτα τὰ ἰσχνά τε καὶ στεγνὰ καὶ κοῦφα τῶν ἐσθημάτων καλοῦσιν οἱ Ῥωμαῖοι. τοιαύτη δὲ ἡ τῆς ἀσπίδος

v. 17 de mens. p. 17, 4 22 Aristoph. Acharn. 180 sq.

v. 7 σκορτάτους *O*, corr. *F* 12 συνεκδοχικῶς: χι in correctura *O* 17 τεθεῖσιν *O*, συντεθεῖσιν coni. Gu. Kroll, *Berl. philol. Wochenschr.* 1899 p. 618 22. 23 στιπτοὶ γέροντες πρίνινοι ἀτεράμονες Μαραθωνομάχαι Aristoph. 24 ἰσχὰ *O*, corr. O_2 | στυγνά *O*, στεγνὰ corr. *B*

κατασκευή· ἀβαρὴς μὲν γάρ ἐστιν, ὡς ἰσχνή, καρτερωτάτη δὲ καὶ ταῖς πληγαῖς οὐκ εὐχερῶς ἐνδιδοῦσα. κλίπεον δὲ Ῥωμαῖοι τὸν θυρεὸν καλοῦσιν ἀπὸ τοῦ κλέπτειν καὶ καλύπτειν τὸν ἐπιφερόμενον αὐτόν. Ἑλλήνων γὰρ ἴδιον καὶ μόνων ἀσπίσι τροχωτάταις ἐν πολέμῳ χρῆσθαι, βαρβάρων δὲ θυρεοῖς· πρὸς γὰρ τὸ κατεπεῖγον τῆς μάχης τὰς θύρας ἀνασπῶντες ὡς σκεπάσμασιν αὐταῖς εἰώθασι χρῆσθαι.

11. Ἔστι δὲ καὶ ἕτερον εἶδος ἀσπίδος βραχυτέρας, ἃς πεζομαχεῖν οἱ ὑπὲρ Ἴστρον οὐκ ἰσχύοντες ἐπὶ τῶν ἵππων κομίζουσι· πάρμαν αὐτὴν Ἰταλοὶ καλοῦσιν, ὡσεὶ πέλτας οἱ Σκύθαι. ἀγκίλιον πρὸς τούτοις τοῖς ἀρχαίοις γέγονεν — οὐδὲ γὰρ νῦν — εἶδος ἀσπιδισκαρίου, ἐξ οὗ καὶ ἀγκίλας τὰς δορικτήτους γυναῖκας ὠνόμασαν. τὴν γὰρ ἀρέσκουσαν αὐτῷ τυχὸν γυναῖκα ὁ στρατιώτης ἔσκεπε τῷ ἀγκιλίῳ ἐπὶ τῆς ἐφόδου, ὡς μὴ βλάπτοιτο πρός τινος, οἷα φυλαττομένη τῷ σώσαντι. ταύτῃ καὶ σέρβους τοὺς δούλους ἀπὸ τοῦ φυλαχθῆναι ἐκ τοῦ πολέμου Ἰταλοὶ καλοῦσι· τοὺς δὲ μὴ δορικτήτους, ἀλλ' ἐλευθέρους μὲν τὴν τύχην, δι' ἔνδειαν δὲ δουλεύοντας φαμούλους, ὅτι φάμις ὁ λιμὸς προσαγορεύεται. ἀγκίλια δὲ ἐξ Ἑλληνικῆς, ⟨κυρίως δὲ⟩ Αἰολικῆς σημασίας εἴρηται ὡσανεὶ ἀμφίλεια· τὰ γὰρ πελτάρια τῶν Ἀμαζόνων τοιαῦτα.

12. Στολὴ δὲ τότε παντὶ τῷ Ῥωμαϊκῷ στρατεύματι μία· περικεφαλαία χαλκῆ καὶ θώραξ κρικωτὸς καὶ ξίφος

v. 2 *καὶ πέον O*, *κλίπεον* corr. *F* 5 *τροχωτάταις O*, *βραχυτάταις* coni. *F* ep. p. 15 *B*, *τροχωταῖς* L. Dindorf 6 *θυραίοις O*, corr. *F* 16 *σώσαντι ταύτην. καὶ O*, quod correxi 21 *προβατορεύεται O*, corr. *F* 22 *κυρίως δὲ* addidi | *σημασίας* bis scriptum est in *O* 23 *αμφιλια O*; *ἀμφὶ λεῖα*, *forte scribendum ἀμφίλεια F*

πλατύ, κολοβόν, ἠωρημένον ἐπὶ τοῦ εὐωνύμου μηροῦ, καὶ ἀκόντια ἐπὶ τῆς δεξιᾶς δύο, γλωχῖνας πλατεῖς ἔχοντα, περικνημίδες τε ὑφανταὶ μέλαιναι καὶ ὑποδήματα τοῖς ποσίν, ἅπερ Ἕλληνες μὲν ἀρβύλας, Ῥωμαῖοι δὲ γάρβουλα καὶ κρηπῖδας ὀνομάζουσιν· οὐχ ἁπλῶς πως οὐδὲ ἀλόγως· ἐν γὰρ ταῖς εἰκόσι Τερέντιος ὁ ἐπίκλην Βάρρων — τὸ δὲ Βάρρωνος ἐπώνυμον τὸν ἀνδρεῖον κατὰ τὴν Κελτῶν φωνήν, κατὰ δὲ Φοίνικας τὸν Ἰουδαῖον σημαίνει, ὡς Ἑρέννιός φησιν — Αἰνείαν οὕτως ἐσταλμένον εἰς Ἰταλίαν ἐλθεῖν ποτε ἀνεγράψατο, ἰδὼν αὐτοῦ τὴν εἰκόνα, ὥς εἶπεν, ἐκ λίθου λευκοῦ ἐξεσμένην ἐπὶ κρήνης ἐν τῇ Ἄλβῃ. καὶ πανάληθες μᾶλλόν ἐστι· καὶ γὰρ ὁ Ῥωμαίων ποιητὴς ἐν τῷ πρώτῳ τῆς Αἰνηΐδος οὕτως ἐσταλμένον αὐτὸν καὶ πλανώμενον σὺν Ἀχάτῃ ἐν τῇ Λιβύῃ εἰσήγαγε. σάρακας δὲ ἐπ' εἰρήνης θηρείους ἐξ ὤμων ἄνωθεν ἕως κνημῶν ἐξηρτημένας περιετίθεντο, κοσμοῦντες αὐτῶν τοὺς λεγομένους ποδεῶνας, καὶ γλόβας αὐτοὺς ὀνομάζοντες οἱονεὶ δοράς, ὅτι γλοβᾶρε τὸ ἐκδεῖραι Ῥωμαίοις ἔθος καλεῖν. καὶ οὐ τοῖς στρατιώταις οὕτως ἐστάλθαι μόνοις ὁπλοφοροῦσι νόμος, ἀλλὰ καὶ αὐτοκράτορσι. τῶν δὲ νῦν στρατιωτῶν βαρβάρους ζηλωσάντων, ἐκείνων δὲ αὐτούς, παρὰ μόνοις τοῖς τοῦ παλατίου φύλαξι — λέγονται δὲ παρὰ Ῥωμαίοις ἐκσκουβίτορες οἱονεὶ φύλακες ἄγρυπνοι,

v. 14 cf. Verg. Aen. I 312

v. 1 ἑωρημένον *O*, corr. O_2 2 γλοχιναι πλατυς *O*, corr. O_2 5 γάρβουλα *O*, γαρβατινας aut γαλλικας coni. *F* ep. p. 15 9 ερέννιοι *O*, corr. *F* 12 ἐξεσμένης *O*, corr. *F* | κρίνης *O*, corr. *F* 15 σάρακας *O*, σάρρακας coni. *F* 16 θυριοὺς *O*, θυρεοὺς O_2, θηρείους coni. *B*, βυρσίνους *F* ep. p. 15, Τυρίους Th. Preger 18 πεδεῶνας *O*, corr. *F* 20 στάλθαι *O*, corr. *F* 23 τοῦ πα|παλατίου *O* 24 σκουβήτορες O, corr. F

οὓς πρῶτος μετὰ Ῥωμύλον Τιβέριος Καῖσαρ ἐξεῦρε — τὸ τοιοῦτο παραπέμεινε σχῆμα ἀπὸ Ῥωμύλου, ὡς ἔφην, ἐξ Αἰνείου τὴν ἀρχὴν ἔχον. οὐδὲ γὰρ ἐξῆν Ῥωμαίοις βαρβαρικὴν στολὴν περιθέσθαι· καὶ τοῦτο Τράγκυλος ἐν τοῖς περὶ Αὐγούστου διαμέμνηται. ἰδόντα γάρ φησι τὸν Αὔγουστον ἐν τῷ ἱπποδρομίῳ τινὰς τῶν Ῥωμαίων ἐπὶ τὸ βαρβαρικὸν ἐσταλμένους ἀγανακτῆσαι, ὡς ἐν ἀκαρεῖ τοὺς καταγνωσθέντας ἀποβαλόντας τὸ βάρβαρον μόγις ἐπιγνωσθῆναι τῷ Καίσαρι. τοιαύτη μὲν οὖν ἡ Ῥωμύλου στρατιά.

13. Καὶ τὰς λεγομένας δὲ ἀττηνσίωνας πρὸς θεραπείαν τῶν ῥηγῶν ἐπινοηθῆναι στοχάζομαι, πρὸς βασταγὴν καὶ φορὰν τῶν ἀναγκαίων, ὥσπερ νοκτούρνους πρὸς ἔπιπλα καὶ τὰ ἄλλα, ὅσα πρὸς κοῖτόν ἐστι χρήσιμα. Κικέρων γὰρ ὁ πολὺς ἐν τοῖς κατὰ Βέρρου μέμνηται τουτουῒ τοῦ ὀνόματος, ἀττήνσους τοὺς οἰκιακοὺς ὑπηρέτας τῶν ῥηγῶν ὀνομάζων ἀπὸ τοῦ προσανέχειν καὶ πειθαρχεῖν· ἀττένδερε γὰρ οἱ Ῥωμαῖοι τὸ φιλονεικεῖν λέγουσιν.

Πρώτη προαγωγὴ ὁ ἵππαρχος.

14. Ὡς οὖν εἴρηταί μοι, τὴν μὲν πεζομάχον δύναμιν τοῖς ἑκατοντάρχοις, τὴν δὲ ἱππικὴν Κελερίῳ τῷ πρὶν τῆς ὅλης ἡγησαμένῳ στρατιᾶς παραδέδωκε, πάσης αὐτὸν δυνάμεως καὶ τύχης καὶ διοικήσεως κρατεῖν ἐγκελευσάμενος, ὡς ἕτερον οὐθέν, ἢ μόνον τὸν στέ-

v. 5 Suet. Aug. 40 (cf. p. 287 ed. Roth) 15 Cic. in Verr. act. sec. I 71 II 69, 74 III 154, 157 (*accensus*) II 133 (*accessio*)

v. 7 ἀγανακτῆσε *O*, ἠγανάκτησεν *O*$_2$, ἀγανακτῆσαι *F* 16 τουτὶ *O*, corr. *F* | αττηνσους *O*, ἀκκήνσους coni. *F* ep. p. 16 17 ὠνόμαζον *O*, corr. Th. Preger 20 ΠΡΟΤΑΓΩΓΗ cod., corr. *F* 22 κελεριος *O*, corr. *F* 24 αὐτῶν *O*, corr. *F*

φανον, τὴν βασιλείαν παρὰ τῶν ἱππάρχων κατασχεῖν, ἐξουσίαν ἀδέσποτον ἑαυτῇ. ταύτην τὴν ἀρχὴν οἵ τε ῥῆγες οἵ τε δικτάτορες ἔσχον ἅπαντες καὶ τὸ λοιπὸν οἱ Καίσαρες, ἔπαρχον τὸν ἵππαρχον μετονομάσαντες· καὶ μάρτυς Αὐρήλιος ὁ νομικός, ῥήμασιν αὐτοῖς πρὸς ἑρμηνείαν οὕτως εἰπών· ‘διὰ βραχέων εἰπεῖν χρειῶδές ἐστι, πόθεν τὴν ἀρχὴν ⟨ὁ⟩ τῶν πραιτωρίων ὕπαρχος ἔσχεν. ἀπὸ τοῦ ἱππάρχου καὶ μᾶλλον· εἰς τόπον γὰρ ἐκείνου τὸν ἔπαρχον προχειρισθῆναι πᾶσιν τοῖς ἀρχαίοις ⟨παραδέδοται, ἐπεὶ τοῖς δικτάτορσι παρὰ τοῖς ἀρχαίοις⟩ ἔστιν οἷς ἡ πᾶσα πρὸς καιρὸν ἐξουσία τῶν πραγμάτων ἐπιστεύετο. ἐπελέγοντο γὰρ ἑαυτοῖς ἡγεμόνα τῶν ἱππέων ἕκαστος, κοινωνὸν ὥσπερ τῆς ἀρχῆς καὶ διοικήσεως τῶν πραγμάτων. τοῦ δὲ κράτους ὕστερον ἐπὶ τοὺς αὐτοκράτορας μετενεχθέντος πρὸς ὁμοίωσιν τοῦ ἱππάρχου ⟨ὁ⟩ τῶν πραιτωρίων προῆλθεν ἔπαρχος. καὶ δέδοται αὐτῷ μείζων ἢ κατ' ἐκεῖνον ἰσχὺς τῆς τε διοικήσεως τῶν πραγμάτων τῆς τε καταστάσεως καὶ ἀσκήσεως τῶν στρατευμάτων καὶ ἐπανορθώσεως ἁπάσης, καὶ εἰς τοσοῦτον ὑπεροχῆς προελθεῖν, ὡς μηδενὶ ἐξεῖναι πρὸς ἔφεσιν ὁρμᾶν ἢ ὅλως ἐγκαλεῖσθαι τὴν αὐτοῦ κρίσιν.’

15. Καὶ τόδε μὲν ὁ νομογράφος· ὅτι δέ, κἂν εἰ

v. 5 Dig. I tit. XI

v. 2 ἐξουσίας coni. *F* 3 δικτορες *O*, corr. *F* 5 αὐρήλλιος *O*, mutavit *B* 6 βραχέων *O* in corr., videtur fuisse ταχέων 7 ὁ add. *B* 8 ante μᾶλλον habet ἡ *O*, ἢ O_2, ἢ delevit *F*, καὶ scripsi 9 πᾶσιν τοῖς *O*, qui post ἐστὶν (v. 11) distinxit; φασιν. Τοῖς *F*, qui in epistula p. 17 locum sanum esse monuit. sed apparet nonnulla intercidisse, quae supplevi e Digestorum verbis: *a quibusdam traditum est. nam cum apud veteres dictatoribus ad tempus summa potestas crederetur* eqs. 13 ἕκαστον *O*, corr. *F* 16 ὁ add. *B* 17 δὲ διοικήσεως *O*, corr. *F* 21 ἄφεσιν *O*, corr. *F* | ἐκκαλεῖσθαι *O*, corr. *F* 22 ab ὅτι paragraphum orditur *F* | τότε *O*, corr. *F*

τυχὸν πρεσβυτέρα καὶ μείζων τῶν ἀρχῶν ἁπασῶν ἐπαρχότης τῶν πραιτωρίων εἶναι δέδοται, καὶ χρειῶδες ἦν ἅμα καὶ ἁρμόδιον δι' ὅλης αὐτῆς τῆς τάξεως καὶ δυνάμεως ἐξαγαγεῖν τὸν λόγον· ἀλλ' οὖν ἐπειδὴ μὴ ἀπ' ἀρχῆς, ἀπὸ δὲ τοῦ Αὐγούστου ἀντὶ τοῦ ἱππάρχου, ὡς ἔφην, προεχειρίσθη, ἀρκέσει τέως περὶ τῆς ἀρχαιότητος εἰπεῖν, καὶ ὅθεν ἡ ἐπαρχότης ἔχει τὰ σπάργανα· εἶτα μετὰ τὴν ἀφήγησιν τῶν παλαιοτέρων ἀρχῶν ἐν προοιμίοις τῆς Αὐγούστου βασιλείας, ἐξ ἧς, ὡς ἔφην, καὶ τὰ προοίμια ἔσχεν ἡ ἀρχή, ἐφεξῆς ἅπαντα, ὅσων τε κατὰ σμικρὸν ἀφῃρέθη, εἶτα δὲ καὶ περὶ τῆς ὑπ' αὐτὴν τελούσης μεγίστης ὡς ἀληθῶς τάξεως, ἐν ᾗ κἀμὲ τελέσαι συμβέβηκε, λεπτομερῶς ἀφηγήσομαι — καὶ γὰρ ἐπίσταμαι οὐκ ἀκοῇ, ἀλλ' αὐτοῖς ἔργοις ὑπουργήσας τοῖς πράγμασιν — εὐχαριστήριον ὥσπερ ἀνάθημα προσφιλὲς τοῖς ἐφόροις τῆς ἀρχῆς ἀναφέρων, διαθρέψασιν ἅμα κοσμίως ἡμᾶς καὶ μετὰ θεὸν τὸν πάντων κύριον γέρα τε τῶν πόνων καὶ πέρας ἐσθλὸν καὶ τύχην κρείττονα παρεσχηκόσιν.

Δευτέρα προαγωγὴ οἱ πατρίκιοι.

16. Δῆλον ἄντικρυς, ἑκατὸν τὸν ἀριθμὸν γέροντας ἐκ πασῶν τῶν κουριῶν — ἀντὶ τοῦ φυλῶν — ἐπιλέξασθαι τὸν Ῥωμύλον πρὸς διάσκεψιν τῶν κοινῶν, οὓς αὐτὸς μὲν πατέρας, Ἰταλοὶ δὲ πατρικίους ἐκάλεσαν, ἀντὶ τοῦ εὐπατρίδας. μετὰ δὲ τὴν ἁρπαγὴν τῶν Σα-

v. 1 μείζω *O*, μείζων corr. *F* ep. p. 17 *B* 2 δέδοται *O*, δέδοκται coni. *F* ep. p. 17 11 οσον *O*, corr. *B* 14 οὐ κακὸν *O*, corr. *F* ep. p. 17 16 διατρέψασιν *O*, corr. *F* ep. p. 17 *B* 21 ἦλον *O*, littera δ in marg. praescriptâ, quae minio pingeretur 22 φίλον *O*, φυλῶν corr. *F*

βίνων conscriptos *αὐτοὺς ἐπονομάσας — οἱονεὶ συγγεγραμμένους· ὅθεν* patres conscripti *οἱ Ῥωμαίων ἄρχοντες ἔτι καὶ νῦν χρηματίζουσι — καὶ ἑτέρας δὲ τριάκοντα κουρίας καὶ τοσούτους ἑκατοντάρχους καὶ τριακοσίους ἑτέρους ἱππότας ἐκ τοῦ Σαβίνων ἔθνους τῷ Ῥωμαϊκῷ συνηρίθμησε στρατῷ· ὡς εἶναι πάντας ἑξακισχιλίους μὲν πεζομάχους, ἑξακοσίους δὲ ἱππότας. καὶ τοῦτον τὸν ἀριθμὸν ὁ Μάριος ὕστερον διεφύλαξε, τὰς λεγομένας λεγιῶνας — οἱονεὶ λογάδας — διατυπῶν· καὶ Λέων δὲ ὁ βασιλεὺς πρῶτος τοὺς λεγομένους ἐκσκουβίτορας τῶν παρεξόδων τοῦ παλατίου φύλακας προστησάμενος τριακοσίους μόνους ἐστράτευσε κατὰ τὴν ἀρχαιότητα.*

17. *Ἐπίσημα δὲ τοῖς πατράσιν — ἤτοι πατρικίοις — ἦν δίπλακες μὲν ἤτοι χλαμύδες, ἄχρι κνημῶν ἐξ ὤμων διήκουσαι, περόναις χρυσαῖς ἀνεσταλμέναι, τὸ χρῶμα ξηραμπέλινοι, πορφύρᾳ κατὰ μέσου διάσημοι — λατικλαβίας αὐτὰς ὠνόμαζον· τὰς δὲ χλαμύδας ἀτραβαττικὰς ἐκ τοῦ χρώματος, ὅτι τὸ φαιὸν κατ' αὐτοὺς ἄτρον προσαγορεύεται — καὶ παραγαῦδαι, χιτῶνες λογχωτοί, ἀκροπόρφυροι, λευκοὶ διόλου, περιχειρίδας ἔχοντες· μάνικας αὐτὰς ἐκεῖνοι λέγουσι. τοὺς δὲ τοιούτους χιτῶνας παραγαύδας τὸ πλῆθος οἶδεν ὀνομάζειν· ἀρχαῖος ὅμως χιτὼν ὁ παραγαύδης, Πέρσαις καὶ Σαυρομάταις ἐπίσημος, ὡς Διογενιανῷ τῷ λεξογράφῳ εἴρηται· περι-*

v. 1 SCPTOC cod. | *ἐπονομάσας* (scil. ὁ *Ῥωμύλος*) *O*, *ἐπωνόμασαν* coni. *F* 2 PⲀTΓEC CONSCΓIPTI cod. 3 *ἑτέρους O*, corr. *F* 9 *λεγιονας O*, *λεγεῶνας* O_2 *F*, *λεγιῶνας* scripsi 16 *ἀνεσταλμέναις O*, corr. *F* 18 de atrabaticis eadem verba Suidas facit s. v. 20 *παραγώδαι*, *ώ* in corr. *O*, *παραγαῦδαι* scripsi, cf. p. 4, 9 et infra v. 23 22 *αὐτὰ O*, ς postea additum est 25 *λεξογράφω O*, *λεξικογράφῳ* coni. B, λεξιγράφῳ L. Dindorf

σκελίδες τε λευκαί, ὅλον τὸ σκέλος σὺν τοῖς ποσὶ σκέπουσαι, καὶ ὑπόδημα μέλαν, ὑποσάνδαλον, δι' ὅλου γυμνόν, βραχεῖ τινι ἀναστήματι τὴν πτέρνην, ἐπ' ἄκρου δὲ τοὺς δακτύλους [τοῦ ποδὸς συσ]φίγγον, ἱμάντων ἑκατέρωθεν ἐπὶ τοὺς ἀστ[ραγάλους] ὑπὸ τὸ ψαλίδωμα τοῦ ποδὸς διελκομένων, ἐπὶ τὸ στῆθος ἀ[νθυπαντ]ώντων ἀλλήλοις καὶ διαδεσμούντων τὸν πόδα ὥ[στε] βραχὺ λίαν ἔκ τε δακτύλων ἔμπροσθεν καὶ ἐξόπισθεν διαφαίνεσθαι τὸ ὑπόδημα, ὅλον δὲ τὸν πόδα τῇ περισκελίδι διαλάμπειν. κάμπαγον αὐτὸ καλοῦσιν ἐκ τῆς ἐπὶ τὸν κάμπον, οἱονεὶ τὸ πεδίον, χρεί[ας ἔτι] καὶ νῦν. ἐπὶ γὰρ τοῦ πεδίου γενόμενοι τὰς προαγωγὰς τῶν ἀρχόντων Ῥωμαῖοι ἐπετέλουν, ἐφ' οὗ τοῖς τοιούτοις ἐστέλλοντο ὑποδήμασι. τουτονὶ τὸν κάμπαγον Θούσκων γενέσθαι τὸ πρὶν ὁ Λέπιδος ἐν τῷ περὶ ἱερέων φησί.

18. Πρόοδος δὲ τοῖς πατρικίοις ἐκ ποδὸς μὲν οὐδέποτε, ἀλλ' οὐδὲ ἱππική — κοινὴ γὰρ ἐδόκει —, ὀχήμασι δὲ ἐπισήμοις, ἐφ' ὑψηλοῦ τῆς καθέδρας ἀναστρωννυμένης, τεσσάρων ἡμιόνων ἑλκόντων τὸ ὄχημα ἐκ χαλκοῦ Κορινθίου, εἰς πλῆθος σχημάτων καὶ τύπων ἀρχαιοφανῶν διαγεγλυμμένων. οὐδὲ γὰρ ἵππους ἐξῆν ὑποζεῦξαι τῷ ὀχήματι, εἰ μή γε μόνοις τοῖς βασιλεῦσι· θριαμβικὴ γὰρ ἡ μετὰ τῶν ἵππων ἐν ὀχήματι πρόοδος. βουριχάλλια δὲ τὰς ἁμάξας ἐκ τῶν βοῶν ἐκάλουν· ὧν ἄνευ, ἐπεὶ μὴ φορτίον ἐπέκειτο, ἡμιόνοις ἐπίστευον τὸν ζυγόν.

v. 4 συσφίγγων *O*, corr. *F* ep. p. 18 5 ψάμα *O*, ἅμμα coni. *F* ep. p. 18 secutus Hasium, πέλμα *B*, ψαλίδωμα scripsi 8 ἐμπρὸς *O*, corr. *F* 18 ἀναστρωννυμένοις *O*, quod correxi 21 διαγεγλυμμένον coni. *B*

Τίνος χάριν τὰς προγραφὰς τῶν ἀξιωμάτων οἱ Ῥωμαῖοι τίτλους καλοῦσιν.

19. Τίτος Τάτιος, Σαβίνων ἡγούμενος, ὡς ἔφθην εἰπών, συναφθεὶς τοῖς Ῥωμαίοις οὕτως ἥνωσεν ἄμφω τὰ ἔθνη, ὡς μηκέτι δύο, μίαν δὲ καὶ μόνην ἀναφέρεσθαι τὴν Ῥωμαίων πολιτείαν. ὅτι δὲ Τίτος Τάτιος τὴν προσηγορίαν ἐκεῖνος εἶχεν, ὑποκοριστικῶς τίτουλον ἀπὸ τοῦ πρώτου Τίτου τὴν προγραφὴν τῆς εὐγενείας ἐκάλεσαν, καὶ Τίτους τοὺς ἐκ προγόνων εὐγενεῖς, ὥς φησι Πέρσιος ὁ Ῥωμαῖος.

20. Τοιαῦτα μέν τινα περὶ τῶν ἀξιωμάτων· πάσης δὲ τιμῆς πρώτην ἐλογίζοντο οἱ τῆς Ῥώμης εὐπατρίδαι τὴν ἀπὸ τῶν χαρισμάτων εὐφημίαν, καὶ ὅσῳ πλείους εἶχον τοὺς οἰκειουμένους αὐτοῖς, τοσούτῳ μείζονα τὴν εὐδοξίαν παρὰ τοὺς ἐλάττονας ⟨ἔχοντας⟩ ἐλογίζοντο. καὶ μάρτυς ὁ Ῥωμαῖος Ἰουβενάλιος εἰπών, καὶ ὑπατειῶν καὶ θριάμβων καὶ τῶν ἐν πολέμοις ἀνδραγαθημάτων πρώτην γενέσθαι τοῖς ἀρχαίοις τὴν ἀπὸ τῶν χαρισμάτων εὔκλειαν. τοὺς δὲ οἰκειουμένους αὐτοῖς κλιέντης ἀντὶ τοῦ κολιέντης κατ' ἀντίστοιχον πατρίως ἐκάλουν — οἱονεὶ τιμῶντας καὶ ἀγαπῶντας αὐτούς — σὺν πάσῃ τιμῇ καὶ μετριότητι τὰς δωρεὰς χαριζόμενοι, ὥστε φιλοτιμίας τὰς τῶν φίλων τιμὰς ὀνομάζειν. οὐδεὶς δὲ τυχὼν οἰκειώσεως εὐπατρίδου ἔχρῃζεν ἑτέρου τὸ λοιπὸν πρός τὴν τοῦ ὅλου βίου παραμυθίαν, αἶσχος

v. 10 Pers. sat. I 20 16 Iuv. sat. V 110

v. 5 *αναφερεσθαι O*, *ἀναφαίνεσθαι* coni. *B* 11 paragraphi notam post *ἀξιωμάτων* posuit *F* 15 *ἔχοντας* add. *F* 16 *ὑπατιῶν O*, quod correxi 24 *τυχὸν O*, corr. F \ ἔχρησεν *O*, corr. *B*

οἰομένων αὐτῶν καὶ τῆς οἰκείας τύχης ἀπόστασιν, εἴ πού τις τῶν φίλων αὐτοῖς εἰς ἑτέρου κατέστη χρείαν. καὶ τουτουῒ ἴχνος ἀμαυρὸν ἕως ἄρτι παρὰ Ῥωμαίοις ἐφυλάττετο. περὶ γὰρ τὴν Ὀστίαν — πόλις δέ ἐστιν ἐπὶ τῶν ἐκβολῶν τοῦ Θύβριδος κειμένη — ἀπέστελλον οἱ τῆς Ῥώμης λογάδες τοὺς οἰκειοτάτους, καθάπερ τι θήραμα καλὸν τοὺς ἀναγομένους ξένους λαμβάνοντας πρὸ τῶν ἄλλων ἄγειν ὡς αὐτούς, πρὸς πάσης ἀφθονίας ἐπίδοσιν ἀνεῳχθεισῶν ἅπασι τῶν αὐλείων θυρῶν τῆς οἰκίας τοῦ μείζονος, μηδενὸς φύλακος ἢ θυρωροῦ διακωλύοντος τοῖς δεομένοις τὴν εἴσοδον, αὐτῶν τῶν εὐπατριδῶν σὺν γαμεταῖς καὶ τέκνοις προφαινομένων τοῖς ξένοις, καὶ θαρρεῖν ἀξιούντων τοὺς οὐδέποτε ὀφθέντας αὐτοῖς. διῆλθε δὲ ὅμως καὶ ἐπὶ τὴν καθ' ἡμᾶς Ῥώμην ἡ τοιαύτη φιλανθρωπία, καὶ τὸ λοιπὸν οὐκ ἔστη, τῶν ἐν ἡμῖν ἐνδόξων ἄχρις ἑαυτῶν τὴν ὑπεροχὴν τῆς τύχης ἐνδεικνυμένων.

Πόθεν διώνυμοι καὶ τριώνυμοι καὶ ἔτι Ῥωμαῖοι.

21. Καὶ πρὸ Ῥωμύλου δὲ ἄν τις εὕροι Σιλβίους τοὺς βασιλέας τῆς χώρας ἐπονομαζομένους ἀπὸ Σιλβίου Αἰνείου, τοῦ ἀπὸ Αἰνείου τοῦ πρώτου. ἐν γὰρ ταῖς ὕλαις τὰς οἰκήσεις ἔχοντες οἱ πρὶν καὶ τὸν νομαδικὸν τιμῶντες βίον Σιλβίους σφας σεμνυνόμενοι προσηγόρευον, μηδὲ αὐτῶν βασιλέων ἀπαξιούντων νέμειν ἀγέλας καὶ χρήματα συλλέγειν ⟨ἀπ'⟩ αὐτῶν· ὅθεν καὶ πεκουνίαν κατ' αὐτοὺς τὰ χρήματα καλοῦσι. ταύτῃ καὶ κύνας παρέπεσθαι Εὐάνδρῳ ποτὲ τῷ Τεγεάτῃ

v. 7 καταγομένους coni. *F* 16 ἔστην *O*, ἐστὶ O_2, ἔστη *F* 25 ἀπ' add. *B* 26 πεκουνίαι *O*, πεκούλια O_2, πεκουνίαν *B*

ἡ παλαιότης οἶδε. καὶ οὐ μόνον ἀνδράσι τὸ Σιλβίων ἐπώνυμον, ἀλλὰ καὶ γυναιξὶν ἐπετίθετο, ὡς Ῥέᾳ Σιλβίᾳ καὶ Ἰλίᾳ Σιλβίᾳ. μετὰ δὲ τὴν τῆς Ῥώμης γένεσιν καὶ τὴν ἁρπαγὴν τῶν Σαβίνων πρῶτος ὁ βασιλεὺς Νουμᾶς διώνυμος ἐχρημάτισε, Πομπίλιος Νουμᾶς προσαγορευόμενος· ὧν τὸ μὲν Ῥωμαίων, τὸ δὲ Σαβίνων ἐπώνυμον ἦν. οὐδὲ γὰρ πρὸ αὐτοῦ εὕροι τις Ῥωμύλον ἤ τινα ὅλως πρὸ τῆς Σαβίνων πρὸς Ῥωμαίους συναφείας παρὰ τὴν οὖσαν αὐτῷ κυρίαν προσηγορίαν ⟨ἑτέραν⟩ κτησάμενον.

22. Καὶ τότε μὲν σπουδὴ καὶ κόσμος ἦν ἐκείνοις, τῇ ἐξ ἑκατέρας γενεᾶς σεμνύνεσθαι προσηγορίᾳ· προϊὼν δὲ ὁ χρόνος ἐπωνυμίας εἰσήγαγε καινάς, νῦν μὲν ἀπὸ Τρωϊκῆς εὐγενείας, νῦν δὲ ἀπὸ τῶν λεγομένων Ἀβοριγίνων καὶ αὐτοχθόνων τῆς χώρας — καὶ γὰρ ἴσμεν Κέθηγον ἐξ ἐκείνων τῶν γηγενῶν ἕλκειν τὸ γένος ἀξιοῦντα, γυμνὸν ἐσθῆτος, μόνης αὐτῷ τόγης τραχείας περὶ τοῖς στέρνοις κειμένης, ἐπ' ἀγορᾶς γενόμενον, καίτοι βουλευτικοῖς ὠγκωμένον γνωρίσμασιν —, εἶτα δὲ καὶ ἀπὸ τρόπου ἢ διαθέσεως, ὡς Πούπλιος Βαλέριος Πουπλικόλας, ὧν αἱ μὲν δύο ἐπωνυμίαι τὴν ἐκ Ῥωμαίων, ὡς ἔφην, καὶ Σαβίνων παρεδήλουν λαμπρότητα, ἡ δὲ τρίτη τὴν ἐκ τῆς περὶ τὸν δῆμον στοργῆς ἐδείκνυ διάθεσιν. καὶ τάχα χρειῶδες ἀντὶ πολλῶν, μετρίων ἐπιμνησθῆναι τοιουτωδῶν περιττωμάτων· οὐδὲ γὰρ σχολὴν ἄγω περὶ ταύτην ἀπραγῆσαι τὴν ζήτησιν,

v. 1 ἡ παλαιότης: Verg. Aen. VIII 462

v. 10 ἑτέραν addidi 13 κενὰς O, corr. F 16 καὶ θηγῶν O, corr. F 17 τὸ γῆς O, corr. F | βραχείας coni. Gu. Kroll 18 γινόμενον O, corr. F 23 τρίτη τῶν O, corr. O₂

ἱκανὴν οὖσαν καθ' ἑαυτὴν καὶ μόνην μεγίστας ἀπασχολῆσαι βίβλους.

23. Πρόκουλον τοιγαροῦν τὸν ἀποδημοῦντι τεχθέντα τῷ πατρὶ καὶ Πόστουμον τελευτήσαντι καὶ Βώπισκον τὸν δίδυμον μὲν συλληφθέντα, τοῦ δὲ ἑτέρου φθαρέντος σωζόμενον, καὶ Καίσαρα τὸν ἀνατμηθείσης τῆς μητρῴας γαστρὸς θανούσης ἀποσωθέντα ἐκάλουν καὶ Φλάκκον τὸν ὦτα μείζονα ἔχοντα καὶ Ναίβιον τὸν ἀλφώδη καὶ Λούκιον Λικίνιον Κράσσον· ὧν τὸ μὲν πρῶτον ⟨τὸν⟩ ἀνίσχοντος ἡλίου τεχθέντα, τὸ δὲ δεύτερον τὸν ἀκρόουλον τὴν κόμην, τὸ δὲ τρίτον τὸν κρεώδη καὶ εὐσώματον διασημαίνει. Κράσσος γὰρ ὁ παχὺς τὸ σῶμα κατὰ φύσιν παρ' Ἰταλοῖς τοῖς ἀρχαιοτέροις εἴρηται, Πεινάριος δὲ ὁ πεινῶν καὶ Στάτιος ὁ εὐῆλιξ καὶ Φαῦστος ⟨ὁ εὐδαίμων⟩ καὶ Φλάβιος ὁ εὔνους καὶ Γάϊος οἱονεὶ Γαύδιος ὁ χαρίεις καὶ Τιβέριος ὁ παρὰ Τίβεριν τὸν ποταμὸν τεχθεὶς καὶ Τίτος ὁ ἀπὸ Τατίου τοῦ Σαβίνου καὶ Ἄππιος ὁ ἐν Ἀππίᾳ οἰκῶν — ὁδὸς δέ ἐστιν ἐπίσημος — καὶ Σέρβιος ὁ θανούσης αὐτῷ τῆς μητρὸς ἐγκύμονος διασωθεὶς καὶ Νέρων ὁ ἰσχυρὸς τῇ Σαβίνων φωνῇ καὶ Νάσων ὁ εὔρινος καὶ Τούκκας ὁ κρεωβόρος, ὃν οἱ ἰδιῶται Ζικκᾶν ἐκάλεσαν καθ' ἡμᾶς, καὶ Βᾶρος καὶ Βλαῖσος ὁ πλαγιόσκελος, καὶ Σερρανὸς ὁ γεωργικὸς ἀπὸ τοῦ σπείρειν, καὶ Αὔγουστος ὁ καλοιώνιστος, καὶ Βιτέλλιος ὁ κροκοειδὴς τὴν ὄψιν, ὅτι βίτελλον οἱ Ῥωμαῖοι τὴν

v. 9 ὧν τὸν et 10 τεχθέντα τὸν *O*, corr. *F* 10 τὸν post πρῶτον add. *B* 14 πειναγύ|ιος *O*, πινάριος *F*, Πεινάριος scripsi | πειων *O*, corr. *F* | στάτης *O*, Βάλης coni. *F*, Στάτιος scripsi 15 ὁ εὐδαίμων addidi 19 ἐστιν ἐπίσημος in rasura *O* 23 βλέσος *O*, Βλαισὸς *F*, Βλαῖσος scripsi 24 ἀπὸ τοῦ ⟨σέρερε οἱονεὶ⟩ σπείρειν coni. *B* 25 βιτέλλιον *O*, corr. *F*

λέκυθον τοῦ ᾠοῦ ἐπικαλοῦσι, καὶ Βάρρων ὁ κατὰ μὲν Φοίνικας Ἰουδαῖος, κατὰ δὲ Κελτοὺς ἀνδρεῖος. καὶ πολλὰ ἄν τις τοιαῦτα συνάγοι κατὰ σχολήν, εἰ τυχὸν αὐτὸν οὐκ ἔχοντα ὅ,τι πράττοι ἀφρόντιδα συμβαίνοι διαβιοῦν καὶ τοιούτοις, ὁποίοις ἐγὼ καίπερ μυρίαις συμπεπλεγμένος φροντίσιν ἐναγρυπνῶ, μωραίνοντα ἀθύρμασιν.

Τρίτη προαγωγὴ οἱ κυαίστορες.

24. *Τὸ πιστὸν τοῖς γράφουσιν ἡ τῶν ἀρχαίων ἐπιτίθησι μαρτυρία. Ἰούνιος τοίνυν Γρακχιανὸς ἐν τῷ περὶ ἐξουσιῶν αὐτοῖς ῥήμασι περὶ τοῦ καλουμένου παρὰ Ῥωμαίοις κυαίστορος· ʻπροεχώρησαν τῇ ψήφῳ τοῦ δήμου. Τοῦλλος δὲ ὁ ῥὴξ μετὰ τούτους ἀναγκαίαν εἶναι τὴν τῶν κυαιστόρων ἀρχὴν ἔκρινεν· ὡς τοὺς πλείους τῶν ἱστορικῶν αὐτῷ τὴν τοιαύτην προαγωγὴν ἀναγράψαι καὶ μόνῳ. ἀπὸ δὲ τῆς ζητήσεως οὕτως ὀνομασθῆναι αὐτοὺς Ἰούνιος καὶ Τρεβάτιος καὶ Φενεστέλλας εἶπον.ʼ καὶ μεθʼ ἕτερα· ʻπλὴν ὕστερον ἐξῃρέθησαν οἱ κανδιδᾶτοι τοῦ βασιλέως κυαίστορες, οἳ πρὸς ἀνάγνωσιν τῶν βασιλικῶν γραμμάτων καὶ μόνην ἐσχόλαζον· οἱ δὲ αὐτοὶ καὶ ψήφους ἀπὸ τοῦ κοινοῦ τῆς βουλῆς ἀνεγίνωσκον ὑπὲρ τῶν εἰς ἀξιώματα προαγομένωνʼ. ταῦτα μὲν ὁ Ἰούνιος· ὁ νομικὸς δὲ Οὐλπια-*

v. 9 Iunius Gracchanus Dig. I 13; quaecumque Gracchano tribuuntur verba, Ulpiani (v. 22) sunt Gracchanum citantis

v. 1 *λεκυ|κυθον* *O*, corr. O_2 | *βόρρων* *O*, corr. *F* 3 *συνάγοι* *O*, *συναγάγοι* O_2 5 *καὶ τοιούτοις* *O*, *κἂν τοιούτοις* coni. *B* | *μυρίας* quod corr. *O* 6 *μωραίνων* *O*, *μωραίνειν* coni. F. Skutsch, *μωραίνοντα* scripsi 9 *γραγχιανὸς* *O*, *Γρακχιανὸς* scripsi (cf. p. 2, 3) 11 *προεχωρήσαντο* O, *προεχειρίζοντο* coni. *B*, *προεχώρησαν τῇ* scripsi 20 *ψηφος* *O*, corr. O_2 21 *προσαγομένων* *O*, corr. *F*

νὸς ἐν τῷ de officio quaestoris — *ἀντὶ τοῦ ⟨περὶ τῆς τοῦ κυαίστορος τάξεως⟩ — περὶ κυαίστορος ἀποχρώντως διαλέγεται.*

25. *Ζητῆσαι δὲ ἀξιόλογον εἶναι νομίζω, τί μέν ἐστι κυαίστωρ, τί δὲ κυαισίτωρ, καὶ τί μὲν σημαίνει διὰ τῆς διφθόγγου γραφόμενον, τί δὲ ⟨διὰ⟩ ψιλῆς. κυαίστωρ τοίνυν ὁ ζητητὴς ἀπὸ τοῦ* quaerere *οἷον ἐρευνᾶν· οἱ γὰρ παρ' Ἕλλησιν ἐρευνάδες παρὰ Ῥωμαίοις κυαίστορες ὠνομάσθησαν. κυαισίτωρ δὲ ὁ τιμωρός· τὸ μὲν γὰρ πρῶτόν ἐστι παρὰ Ῥωμαίοις δισσύλλαβον, τὸ δὲ τρισσύλλαβον. ἐπὶ γὰρ τοῦ μόνου Μίνωος τοῦ Κρητός, ὃς γενέσθαι τιμωρὸς κατὰ τὸ μυθικὸν τῶν ἐν Ἅιδου ψυχῶν ἐνομίσθη, τὸ κυαισίτορος ὄνομα ὁ Ῥωμαίων ποιητὴς ἐν ἕκτῳ τῆς Αἰνηΐδος τέθεικεν. ὅθεν καὶ κυαιστίωνας τὰς τιμωρίας καὶ κυαιστιωναρίους τοὺς τῶν ποινῶν ὑπηρέτας Ῥωμαῖοι ἔγνωσαν καλεῖν. ὁ μὲν γὰρ κυαίστωρ ζητητής ἐστιν ἐπὶ χρήμασιν, ὁ δὲ κατ' ἐπέκτασιν καὶ συλλαβῆς προσθήκην ἐπ' ἐγκλήμασιν· ἑκάτερον δὲ διὰ τῆς διφθόγγου γραφήσεται, κἂν εἰ τὸν ταμίαν διασημαίνῃ, ὅτι κυαίστους ὁ πόρος παρὰ Ῥωμαίοις καλεῖται. ὅτε δὲ μὴ δίφθογγος ᾖ ἐν προοιμίοις ἡ λέξις, ἀλλὰ ψιλῇ γράφεται, οὐδέτερον μὲν τῶν εἰρημένων σημαίνει, τὸν δὲ μεμψίμοιρον καὶ βλάσφημον διὰ τῆς γραφῆς ἐπιδείξει· ὅτι* queror *'μέμφομαι' ῥήματι κοινῷ πάθος ἅμα καὶ*

v. 13 Verg. Aen. VI 432

v. 1 dЄ OFIUOCI GᕱЄSTOΓIS cod. | supplementum add. *B* 2 *κυαισίτορος O*, corr. *F* 6 *δὲ ψιλῆς O, διὰ* add. *F*, *δὲ ψιλῇ* coni. *B* 7 ϤUЄRЄRЄ cod. 11 *τοῦ* ante *μόνου* aut delendum aut cum *καὶ* mutandum censet *B*, *μόνου τοῦ* transponit Gu. Kroll 12 *τὸν μῦθον* coni. *B* p. 260 20 *διασημαίνει* O, corr. O_2 | *κυέστους O*, corr. *F* 24 *μέμψιμον O*, corr. *B* 25 ϥUЄΓOΓ cod.

ἐνέργειαν παραδηλοῦντι λέγουσι, καὶ κυεριμωνίας καὶ κυερήλας τὰς μέμψεις.

26. Ὅπως δὲ μὴ τυχὸν τεχνολογίαις τἀληθὲς δόξωμεν σοφίζεσθαι, πρὸς τῶν περὶ ταῦτα ἠσχολημένων μάθωμεν. Γάϊος τοίνυν ὁ νομικὸς ἐν τῷ ἐπιγραφομένῳ παρ' αὐτοῦ ad legem XII tabularum — οἷον εἰς τὸν νόμον τοῦ δυοκαιδεκαδέλτου — αὐτοῖς ῥήμασι πρὸς ἑρμηνείαν ταῦτά φησιν· 'ὡς δὲ τὸ γαζοφυλάκιον τοῦ δήμου εἰς ἐπίδοσιν ἦλθε, προεχειρίσθησαν κυαίστορες ὑπὲρ τῆς αὐτοῦ φροντίδος ἀπὸ τῆς περιποιήσεως καὶ φυλακῆς τῶν χρημάτων οὕτως ὀνομασθέντες. ἐπειδὴ δὲ περὶ κεφαλικῆς τιμωρίας οὐκ ἐξῆν τοῖς ἄρχουσι κατὰ Ῥωμαίου πολίτου ψηφίσασθαι, προεβλήθησαν κυαίστορες παρρικιδίου, ὡσανεὶ κριταὶ καὶ δικασταὶ τῶν πολίτας ἀνελόντων.' παρρικίδας δὲ Ῥωμαῖοι ὁμωνύμως τούς τε γονέων τούς τε πολιτῶν φονέας ἀποκαλοῦσι, παρέντες ἑκατέρους προσαγορεύοντες. διαφορὰν δὲ ἐπὶ τῆς ἐπωνυμίας ταύτην παρέχουσί τινα· συστέλλοντες γὰρ τὴν πρώτην συλλαβὴν καὶ βραχεῖαν ποιοῦντες τοὺς γονέας, ἐκτείνοντες δὲ τοὺς ὑπηκόους σημαίνουσιν.

27. Τῷ δὲ τρίτῳ καὶ ⟨τεσσαρακοστῷ καὶ⟩ διακοσιοστῷ τῶν ὑπάτων ἐνιαυτῷ ἐπὶ τῆς ὑπατείας Ῥηγούλου καὶ Ἰουνίου κρινάντων Ῥωμαίων πολεμεῖν τοῖς

v. 5 cf. Dig. I tit. II 22, 23; sed non Gaii, immo Pomponii verba sunt

v. 1 ἐριμονίας *O*, corr. *F* 2 κυερίλλας *O*, corr. *F* 6 ΔD LECEΠI XN TAbULAΠGM cod. 14 παρακιδίοις *O*, παρρικίδιοι *F*, παρρικιδίου scripsi 19, 20 βροχὴν ποροῦντες O, corr. F 22 τεσσαρακοστῷ καὶ addidit Th. Mommsen, Römisches Staatsrecht II[3] 570[5] 24 Ἰουλίου corr. Th. Mommsen l. s.

συμμαχήσασι Πύρρῳ τῷ Ἠπειρώτῃ, κατεσκευάσθη στόλος καὶ προεβλήθησαν οἱ καλούμενοι κλασσικοί, οἱονεὶ ναυάρχαι, τῷ ἀριθμῷ δυοκαίδεκα κυαίστορες, οἷον ταμίαι καὶ συναγωγεῖς χρημάτων· τίνι δὲ διαφέρει κυαίστωρ κυαισίτορος προειρήκαμεν. καὶ διεφυλάχθη ἡ τοιαύτη συνήθεια καὶ συναγωγὴ τῶν πόρων τοῖς τε ὑπάτοις τοῖς τε πραίτορσιν ἐκδημοῦσιν.

28. *Περὶ δὲ τῶν τοῦ παλατίου κυαιστόρων πυθέσθαι χαλεπὸν οὐδὲν Οὐλπιανοῦ τοῦ νομικοῦ· λέγει δὲ ὧδε ἐν μονοβίβλῳ περὶ τῆς τοῦ κυαίστορος τάξεως· ʻπλὴν ἐξῄρηντο οἱ κυαίστορες οἱ κανδιδᾶτοι τοῦ Καίσαρος· οὗτοι γὰρ μόνοις τοῖς βιβλίοις τοῖς ἐπὶ τῆς βουλῆς ἀναγινωσκομένοις ἐσχόλαζον καὶ ταῖς ἐπιστολαῖς τῶν βασιλέων ὑπούργουν.ʼ κανδιδάτους δὲ τοὺς λευχείμονας Ῥωμαίοις ἔθος καλεῖν· οὐδεὶς δὲ λόγον ὅντιναοῦν ἀναγνωσόμενος καὶ μάλιστα ἐκ προσώπου βασιλέων μὴ λευχείμων ἐπέβη τῆς ἀναγνώσεως. κανδιδᾶτοι δὲ καὶ οἱ μέλλοντες εἰς ἀρχὰς τῶν ἐπαρχιῶν παριέναι ἐλέγοντο, ὅτι καὶ αὐτοὶ λευχειμονοῦντες προήεσαν, ταύτῃ παραδηλοῦντες, ὡς ἀρχοντιῶσιν. καὶ τούτων μάρτυς πᾶς ὁ Ῥωμαϊκῆς οὐκ ἄμοιρος ἱστορίας. τὸ γὰρ μηδένα τῶν ἀρχόντων ἑτέρᾳ παρὰ τὴν ἐν ἑορταῖς στολῇ χρήσασθαι, πᾶσίν ἐστι γνωριμώτατον· καὶ οὐκ ἐπὶ τῆς Ῥώμης μόνης, ἀλλὰ μὴν κἀν ταῖς ἐπαρχίαις τοῦτο κρατῆσαν αὐτὸς ἐγὼ διαμέμνημαι, ἕως ἂν τὰ βουλευτήρια διῴκουν τὰς πόλεις, ὧν ἀπολομένων συνεξώλισθε τοῖς ἐν γένει τὰ ἐν εἴδει.*

v. 9 Dig. I tit. XIII

v. 2 *προσεβλήθησαν* *O*, corr. *B* 4 *συναγωγῆς* *O*, corr. *F* 12 *μόνοι* *O*, corr. *F* secundum Digestorum verba 13 *ἀναγινωσκόμενοι* *O*, ς postea additum

29. *Τοσούτους ἄρχοντας τὰ Ῥωμαίων ἰθῦναι ὑπὸ τοῖς ῥηξὶν ἐπὶ τοὺς τρεῖς καὶ τεσσαράκοντα καὶ διακοσίους ἐνιαυτούς, ἐφ' ὅσους οἱ ῥῆγες ἐκράτησαν, ἡ καθόλου ἱστορία παραδέδωκε, καὶ τὸ λοιπὸν ὥσπερ ἐν σκότῳ τὸ τῆς ἐλευθερίας ἐξέλαμψεν ὄνομα.*

Περὶ τῆς ὑπατείας καὶ τῶν ἐν αὐτῇ ἐπισήμων.

30. *Ὑπάτους Ἕλληνες τοὺς ὑψηλοὺς καὶ μεγάλους λέγουσιν, οὐ στοχασάμενοι τῆς ἀληθοῦς τοῦ ὀνόματος προσηγορίας· τὸ γὰρ κόνσουλ, ὡς Ἰταλοῖς ἡ φύσις παραδέδωκεν, οὐ τὸν ὑψηλόν, ἀλλὰ τὸν πρύτανιν σημαίνει. Κόνσος γὰρ αὐτοῖς ὁ Ποσειδῶν ἐνομίσθη· κρύφιος δὲ αὐτὸς καὶ ὑποβρύχιος, καὶ ὡς τοῖς ποιηταῖς ἤρεσεν, ἐννοσίγαιος καὶ ἐνοσίχθων. ὅ,τι δὲ κρύφιον, τοῦτο λεληθός· ταύτῃ καὶ κονσίλια τὰ βουλεύματα καὶ μυστικὰ σκέμματα λέγεται παρ' ἐκείνοις, ἀπὸ τοῦ κόνδερε οἱονεὶ τοῦ κρύπτειν· καὶ κόνσουλ ὁ κρυψίνους ἀπὸ τοῦ προνοεῖν καὶ καθ' ἑαυτὸν ὑπὲρ τῶν κοινῶν σκεπτόμενον ἀγρυπνεῖν. ταύτῃ καὶ Κονσουάλια τὰ ἱπποδρόμια καλοῦσιν οἱ ἀρχαῖοι· ἵππιον γὰρ ὁ μῦθος τὸν Ποσειδῶνα λέγει.*

31. *Τοιαῦτα μέν τινα περὶ τῆς Ἰταλικῆς τῶν ὑπάτων προσηγορίας· ὅτι δὲ τῶν πάντων ἠγνόησεν οὐδεὶς τὰ ὀνόματα τῶν πρώτως ὑπατευσάντων, μέτριά τινα περὶ Βρούτου λεκτέον. Ἰούνιος μὲν κύριον ὄνομα τἀνδρὶ*

v. 2 *τοῦς O*, *τοῖς* corr. *F* 8 *ουσ|τοχασαμενοι O*, corr. *F* 11 *κόνσον O*, corr. *F* 12 *αὐτος O*, *οὗτος* coni. *B* 13 *ενοσιχθονι τι O*, *ἐνοσίχθων* deleto *ιτι O₂*, *ἐνοσίχθων· ἐστὶ F*, *ἐνοσίχθων· εἴ τι F* ep. p. 19, *ἐνοσίχθων. ὅ,τι* scripsi 14 *λεληθῶς O*, *λεληθώς F*, *λεληθὸς F* ep., *ἀληθῶς* coni. *B* | *κονσίλιαι O*, corr. *F* 15 *κονδόρε O*, corr. *F* 18 *ὑπποδρόμια O*, corr. *O₂* 19 *ἵππιος O*, *ἵππειος O₂*, *ἵππειον F*, *ἵππιον* scripsi 21 post *προσηγορίας* paragraphos distinguit *F* 23 *τῶι πρώτως O*, corr. *F*

γέγονε· Βροῦτον δὲ αὐτὸν κατὰ τὸν τῆς ἐπωνυμίας τρόπον ἔλεγον ἀπὸ τῆς ὑποκεκριμένης αὐτῷ μωρίας· βροῦτον γὰρ τὸν μωρὸν ἐπεχωρίαζον Ἰταλοὶ τὸ πάλαι ἀπὸ τῆς βαρύτητος τῶν φρενῶν. οὗτος, ὡς ἔφην, εὐήθειαν σκηνικευόμενος ἐζήτει καιρὸν τὸν Ταρκύνιον, ἄνδρα τῶν πώποτε τυράννων ἀπηνέστατον, ἐξωθῆσαι τῆς ἀρχῆς. ὡς δὲ βραδύνων Ἀθήνησι διὰ τοὺς νόμους σὺν τοῖς μετ' αὐτοῦ πρὸς τοῦτο σταλεῖσιν ὑπὸ Ῥωμαίων, ᾔτει τὸν θεὸν ὁδὸν ὑποδεῖξαι καὶ συλλαβεῖν αὐτῷ πρὸς τοῦτο, ἔχρησεν αὐτῷ τὸ δαιμόνιον, ⟨ὅτι⟩ εἰ τῆς πατρίδος ἐπιβὰς πρὸ πάσης τάξεως τὴν μητέρα περιπτύξηται καὶ λιπαρῶς περιβάλοι, περιέσται τοῦ σκοποῦ. καὶ δὴ ἐπανελθὼν ἐν τῇ Ῥώμῃ καὶ τὴν γῆν περιβαλών — αὕτη δὲ μήτηρ τῶν πάντων — ἠλευθέρωσε Ῥωμαίους τυραννίδος, ἀρχὴν ἐξευρὼν παρ' οὐδενὶ τῶν ἐθνῶν γνωριζομένην, καὶ εἰ παρ' Ἑβραίοις Δανιὴλ ὁ προφητῶν θειότατος ὑπάτων παρὰ Ἀσσυρίοις γενομένων ποτὲ μνημονεύει. οὐδὲ γὰρ οὕτως αὐτὸς ἐπὶ τῆς Ἑβραΐδος ἀπεθετο φωνῆς, ὡς Ἀρισταῖος λέγει, ἀλλ' οἱ ἑρμηνεύσαντες παρὰ Πτολεμαίῳ τὰ λόγιά ποτε ἀντὶ δυναστῶν καὶ βουλευτῶν ὑπάτους εἶπον, μήποτε τότε παρὰ Ῥωμαίοις ἀνισχούσης τῆς ἀρχῆς, καὶ παρὰ πᾶσιν ἐπὶ τῷ καινῷ μεγέθει τῆς ἀρχῆς θαυμαζομένης. τούτων οὕτως ἐχόντων περὶ τῶν τῆς ὑπατείας συμβόλων ῥητέον.

v. 16 Dan. III 2 19 Aristeae ad Philocratem epistula p. 157 ed. P. Wendland

v. 2 *ὑποκεκρυμμένης* *O*, corr. *B* 5 *σκηνευομενος* *O*, corr. *F* ep. p. 19 10 *ὅτι* add. *B* 11 *τάξεως* *O*, *πράξεως* coni. *B* 12 an *περιβάλῃ*? 18 *οὗτος* *O*, corr. *B* 19 *ἐπέθετο* *O*, *ἀπέθετο* coni. *B* coll. III 70 21 *μήπω* *O*, *μήποτε* corr. *B* 23 *τῆς ἀρχῆς* del. *F*

32. *Λευκοὶ φαινόλαι ποδήρεις καὶ κολοβοὶ μετρίως παρὰ τοὺς φαινόλας ἀνεσταλμένοι πλατύσημοι, πορφύρα διάσημος ἐξ ἑκατέρων τῶν ὤμων, τοῖς μὲν φαινόλαις πρόσθεν, τοῖς δὲ κολοβοῖς καὶ ἐξόπισθεν, καὶ ὑποδήματα λευκά· ἀλοῦταν δὲ τὸ ἀπὸ στυπτηρίας δέρμα καλοῦσιν οἱ Ῥωμαῖοι, ὅτι ἀλοῦμεν κατ' αὐτοὺς ἡ στυπτηρία λέγεται· καὶ ἐκμαγεῖον ἐπὶ τῆς δεξιᾶς ἀπὸ λίνου λευκὸν τὰ ἐπίσημα τῶν ὑπάτων ἦν, ⟨ἣν⟩ μάππαν καὶ φακιόλιν ἐπιχωρίως ὠνόμασαν, ὅτι φακίης κατ' αὐτοὺς ἡ ὄψις λέγεται, καὶ πελέκεις ἡγούμενοι εἰς ὕψος ἀρθέντες καὶ πλῆθος ἀνδρῶν ῥάβδους ἐπιφερομένων, ἐξ ὧν ἱμάντες φοινικῷ χρώματι βεβαμμένοι ἐξήρτηντο, ⟨μνή⟩μη Σερρανοῦ τοῦ δικτάτορος, ὃς ἐν ὕλαις ξυλοτομῶν καὶ πέλεκυν εἰκότως ἐπιφερόμενος ῥάβδον τε ἐξηρτημένην ἡνίας πρὸς ἔλασιν τῶν βοῶν τῆς ἁμάξης ἐπὶ τὴν Ῥωμαίων ἀρχὴν μετεστάλη, ὡς Πέρσιος ὁ Ῥωμαῖος σατυρικὸς ἔφη, ἢ καὶ ὅτι πέλεκυς ἐξουσίας ἐστὶ δεικτικός· πρὸς τούτοις καθέδρα — σέλλαν αὐτὴν ἐκεῖνοι καλοῦσιν — ἐξ ἐλέφαντος, ἐφ' ᾗ καθήμενον τὸν ὕπατον οἱ πολῖται σχίδακας ὑπομήκεις ὑποβαλόντες ἔφερον προϊόντα.*

33. *Ὅπως δὲ μὴ τῇ τοῦ ἑνὸς ἐξουσίᾳ ἀδυσώπητος ἡ ἀρχὴ τοῦ ὑπάτου γένοιτο, δύο καὶ ἐπὶ μόνον ἐνιαυτὸν προεχειρίσαντο, ὡς εἴρηται· Βροῦτον τὸν τῆς*

v. 16 Pers. sat. I 73

v. 3 *διάσημα O*, corr. *B* 6 *ἄλουμον O*, corr. *F* 8 *ἣν* add. Gu. Kroll 9 *φακιόλην O*, corr. Th. Preger 11 *πληθος O*, supra *ο* adscriptum est *υ* 13 *μησεράννου O*, *ἢ ἀπὸ Σερανοῦ F*, *μνήμη Σερρανοῦ* scripsi | *δικάτορος O*, corr. *F* 14 *ῥάβδον O*, *ῥάβδου* coni. *F* 15 *ἡνίας O*, *ἡνίαν* coni. *F* 18. 19 *την εκ* in ras. *O* 20 *ὑπομήκεις O*, *ἐπιμήκεις* coni. B | *ὑποβάλλοντες O*, corr. *F* 21 *προσιόντας* O, corr. F

ἐλευθερίας ἔκδικον, ⟨καὶ⟩ σὺν αὐτῷ Πουπλικόλαν — τὸ δὲ ὄνομα τὸν δημαγωγὸν σημαίνει —, οἷς ἐξῆν καὶ νόμους γράφειν καὶ αὐτοκρατῶς τοὺς πολέμους διοικεῖν οἷα τὴν τῶν ὅλων διοίκησιν ἀνημμένοις. τελευτήσαντος δὲ τὸν βίον τοῦ Βρούτου δημοσίῳ πένθει ἐτίμησαν τὸν νεκρὸν καὶ βρούτας τάς σφων γυναῖκας ὠνόμασαν ἐξ αὐτοῦ διὰ τὴν σωφροσύνην· τὸν δὲ ἕτερον ὁ θάτερος ἔτι περιὼν ἐπικηδείῳ πρῶτος ἐτίμησε. λέγεται δὲ παρ' αὐτοῖς τὸ ἐπιτάφιον νηνία, ἐξ Ἑλληνικῆς μᾶλλον ἐτυμολογίας, ὅτι νήτην τὴν ἐσχάτην τῶν ἐν κιθάρᾳ χορδῶν Ἕλληνες καλοῦσιν.

Πέμπτη προαγωγὴ οἱ δεκάπρωτοι καὶ ὁ τῆς πόλεως ὕπαρχος.

34. *Γάϊος ὁ νομογράφος μετὰ τὴν τῶν κυαιστόρων τὴν δεκανδρικὴν ἀρχὴν ἀναφέρει, ῥήμασι πρὸς ἑρμηνείαν τούτοις· 'πολλῆς δὲ συγχύσεως τῶν νόμων, οἷα μὴ γράμμασι τεθειμένων, τοῖς πράγμασι γινομένης ἐκ τῆς τῶν ἀρχόντων καὶ τοῦ δήμου διαφορᾶς, δόγματι κοινῷ τῆς βουλῆς καὶ τοῦ δήμου πάντες μὲν οἱ ἄρχοντες ἐκινήθησαν, δέκα δὲ μόνοις ἀνδράσι τὴν φροντίδα τῆς πολιτείας παρέδοσαν.' αὐτοὶ δὲ στέλλουσιν — ἡ ἱστορία φησίν — εἰς Ἀθήνας Σπούριον Ποστούμιον, Αὖλον Μάρκιον καὶ Πούπλιον Σουλπίκιον. τῶν δὲ*

v. 14 (Pomponius in) Dig. I tit. II 24 22 *ἡ ἱστορία* Liv. III 31 (v. Heffter, *Rhein. Mus. f. Jurisprudenz* II 1828 p. 122)

v. 1 *καὶ* add. *F* 11 *καλοῦσιν νήτην O*, *νήτην* del. O_2 12 similem titulum paragrapho 45 praescripsit *O* 16 post *ἑρμηνείαν* tres litteras delevit *O* 20 *ἐκινήθησαν O*, *ἀπεκινήθησαν* coni. *B* 21 Gaii verba desinere in vocula *παρέδοσαν* cognovit Heffter l. s. 23 *μάρκιον O*, *Manlium* Liv. | *πούπλιον καὶ O*, corr. *F*

ἐπὶ τριετῆ χρόνον ἐκεῖ βραδυνόντων, ἕως καὶ τοὺς λειπομένους Ἀθηναίων νόμους ταῖς δέκα δέλτοις ἀναλάβωσι, δέκα προεβάλετο ὁ δῆμος ἄνδρας ἀνθεξομένους τῶν πραγμάτων, ὧν ὁ πρῶτος τῆς πόλεως φύλαξ προσηγορεύθη, ὁ καθ' ἡμᾶς πολίαρχος. ἐπίσημα δὲ τῆς ἐξουσίας ἦν αὐτῷ δυοκαίδεκα ῥάβδοι· τοῖς δὲ λοιποῖς οὐχ οὕτως, ὁπλοφόρος δὲ ἀν' ἕκαστον εἷς καὶ μόνος. τῷ γε μὴν πολιάρχῳ καὶ τάξις ἀνδρῶν τογατηφόρων καὶ ῥαβδοῦχοι καὶ δεσμὰ καὶ ὅσα ἴσμεν παρῆν. ἀπέτρεφον δὲ αὐτοὺς οἱ κτῆσιν εὔφορον κεκτημένοι, ὅθεν τὸ γλήβης προσέλαβον ὄνομα, ὅτι γλήβαν τὴν λείαν γῆν ἀντὶ τοῦ τὴν κάρπιμον οἱ Ῥωμαῖοι καλοῦσι. τὸ γὰρ τῶν ἔργων σκρινίον, οὐκ ὂν ἀπ' ἀρχῆς, ὁ Αὔγουστος προσένειμε τῇ ἀρχῇ, τὴν ἐν τῇ Ῥώμῃ βασιλικὴν ἀνεγείρων, ὡς ὁ Τράγκυλλος εἶπε φιλολόγος. τῶν δὲ εἰρημένων ἀρχόντων πρὸς ἀλαζονείαν ἀρθέντων καὶ τυραννικῶς διαγινομένων ταραχθεὶς ὁ δῆμος τὴν πόλιν ἀπέλιπε καὶ περὶ τὸν βουνὸν τὸν λεγόμενον Ἀβεντῖνον ᾤκησεν· ὁ δὲ τόπος ἕλκει τὴν προσηγορίαν ἐξ ἑνὸς τῶν Ἡρακλειδῶν, ὡς ὁ Ῥωμαίων ποιητὴς παραδέδωκε. καὶ διέτριβεν ἐκεῖ ὁ δῆμος ἀγανακτῶν πλείστων μὲν ἕνεκα, ἐξαιρέτως δὲ Βεργινίου χάριν καὶ τῆς αὐτοῦ παιδὸς ἔναγχος βιασθέντων· τὴν δὲ ἱστορίαν οἶμαι πρόδηλον εἶναι.

35. Ἄρχοντες μὲν οὗτοι, πλὴν εἰ μή τις καὶ τοὺς

v. 15 Sueton frg. 200 Reifferscheid, cf. p. 303 ed. Roth 20 Verg. Aen. VII 657

v. 2 *δέκα O*, *δώδεκα* coni. *F* ep. p. 20, sed vide Dig. I tit. II 4 | *ἀναλάβουσι O*, corr. *F* 8 *τογάτη* ⟨*ἀντὶ τοῦ φαινολη*⟩*φόρων* coni. *F* 11 *γλέβης* et *γλέβαν O*, quod correxi 15 *τράκυλλος O*, mutavit *B* | *φιλολόγωι O*, corr. O_2 18 *ἀπέλειπε O*, corr. O_2

λεγομένους παρ' αὐτοῖς ποντίφικας — ἀντὶ τοῦ ἀρχιερεῖς νεωκόρους — εἰς ἄρχοντας ἀριθμεῖν ἐθελήσοι· γνώμῃ γὰρ αὐτῶν καὶ κρίσει τοὺς νόμους ἔγραφον οἱ ἀρχαῖοι καὶ τὰ ὤνια διετύπουν· ὅθεν aediles *τοὺς ἀγορανόμους ἔτι καὶ νῦν συμβαίνει καλεῖσθαι, καθὸ τοὺς ναοὺς οἱ Ῥωμαῖοι αἴδεις καλοῦσιν. μετὰ δὲ τὴν ἐκβολὴν τῶν ῥηγῶν καὶ προβολὴν τῶν ὑπάτων, θορύβων ἐνισταμένων, ὡς εἴρηται τοῖς συγγραφεῦσιν ἑκατέρας φωνῆς, ἐπὶ πεντήκοντα σύνεγγυς ἐνιαυτοὺς χιλίαρχοι τῶν πραγμάτων ἐξηγήσαντο· εἶτα ἐπὶ πενταετίαν ἀναρχίαν ἐδυστύχει τὸ πολίτευμα· καὶ τὸ λοιπὸν τρεῖς νομοθέτας καὶ δικαστὰς προβληθῆναι πρὸς βραχὺ συμβέβηκε διὰ τὰς ἐμφυλίους στάσεις.*

Ἕκτη προαγωγὴ ἡ λεγομένη δικτατοῦρα.

36. *Οὕτως οὖν Ῥωμαίοις ταραττομένων τῶν πραγμάτων συνήρεσε τὸν καλούμενον προστήσασθαι δικτάτορα· ἐπεὶ ʽοὐκ ἀγαθὸν πολυκοιρανίη'. δισσαῖς οὖν ταῖς φροντίσιν ἐταλαιπώρουν, καὶ τὸ βασιλέων δεδιότες ὄνομα, μὴ λάθοιεν αὖθις Ταρκυνίοις καινοῖς περιπίπτοντες, ἢ πολλοῖς καὶ μὴ συμφωνοῦσιν ἄρχουσι διασπαθιζόμενοι· ἔδοξε τοιγαροῦν αὐτοῖς, ὡς εἴρηται, τὸν καλούμενον δικτάτορα — ἀντὶ τοῦ μεσοβασιλέα — προστήσασθαι, ἓξ καὶ μόνοις μησὶ τοῦ κράτους αὐτῷ περιγραφομένου. καὶ τέως ἁρμόδιον εἶναί μοι δοκεῖ ἑρμηνεῦσαι τοῖς Ἕλλησι τὸ δικτάτορος ὄνομα. πατρίως*

v. 17 Iliad. II 204

v. 2 *νεωκόρους O, καὶ νεωκόρους* coni. *F*, *γεφυραίους* coni. *B* 4 *διετύπου* scripsit et *ν* postea addidit *O* | ΔΕdILES cod. 6 *ἀειδεις O*, corr. *F* 16 *προεστήσαντο O*, *προεστήσασθαι* corr. *O*, *προστήσασθαι* O_2 19 *κοινοῖς O*, delevit *B*, *καινοῖς* scripsi 20 *διασπαθιζομένοις O*, corr. *F* 23 *περιγραφομένω* O_1 corr. *F*

τοίνυν οἱ Ῥωμαῖοι τὸν ἐπὶ καιρὸν μονάρχην οὕτω καλοῦσι, τὸν μὴ νόμων γραφαῖς τὰ τῶν ὑπηκόων διατιθέναι προϊστάμενον, οἷα ἐν βραχεῖ τῆς ἀρχῆς παυόμενον. δικτατοῦραν γὰρ τὴν ἐξουσίαν αὐτοὶ καλοῦσιν οὐ τὴν καθόλου, ἀλλὰ πρὸς τὸ λυσιτελοῦν τοῖς πράγμασιν ἐπὶ χρόνον βραχὺν διδομένην, ὥστε λόγῳ καὶ μόνῳ διορθωθέντων τῶν μὴ καθεστηκότων, τὸ λοιπὸν τὸν προαγόμενον εἰς τὴν προτέραν τύχην ἀναστρέφειν. ἅμα γὰρ τὰ πεπονηκότα ἐθεράπευσεν ὁ δικτάτωρ, ἅμα τῆς ἀρχῆς ἀπεπαύσατο.

37. *Χειροτονοῦσι τοίνυν δικτάτορα πρῶτον οἱ Ῥωμαῖοι Τίτον Μάρκιον, ὃς ἅμα τῆς ἀρχῆς ἐπελάβετο, ⟨ἅμα⟩ δύο ὑπάτους προεστήσατο. οὐ μὴν χρόνον ὥρισε, καθ' ὃν ἂν χειροτονοῖντο οἱ ὕπατοι· νεώτερον γάρ ἐστι τὸ κατὰ τὸν Ἰανουάριον μῆνα προϊέναι τὸν ὕπατον. ἐνιαυτῷ δὲ μόνῳ τὴν ὕπατον ἐπίστευσε τιμήν, πανταχοῦ Ῥωμαίων ταῖς ἐναλλαγαῖς χαιρόντων. πάντα δὲ τὰ τῆς βασιλείας σύμβολα παρῆν τῷ δικτάτορι, στεφάνου χωρίς· οἵ τε δυοκαίδεκα πελέκεις, πορφύρα καὶ σέλλα καὶ δόρατα καὶ ὅσοις ἐπισήμοις οἱ ῥῆγες ἐγνωρίζοντο. ἱππάρχην τε πρῶτον Σπούριον Κάσιον ὕπαρχον ἑαυτῷ προεβάλετο, καθάπερ Ῥωμύλος τὸν Κελέριον τριβοῦνον τῶν ἱππέων. ἡγοῦντο δὲ αὐτῷ ῥάβδοι ἐπιμήκεις λοφιῶν χωρίς, ὅπερ ἔτι καὶ νῦν ἔθος καίπερ ἠγνοημένον φυλάττεται. κινουμένοις γὰρ τοῖς τῶν ἱππέων στρατηγοῖς οὐκέτι μὲν ῥαβδοῦχοι ἡγοῦνται*

v. 2 *διατεθέντα O*, quod emendare conatus sum 3 *προϊστάμενα O*, corr. O_2, *πράγματα* coni. *B* 4 *δίκαιον O*, *δικαίαν* coni. *F*, *δικτατοῦραν* corr. *B* | *αὐτὴν O*, corr. *F* 6 *χρόνου*, quod deinde correxit, *O* 12 *μάρκιον O*, sed est *Larcius*, Liv. II 18 13 *ἅμα* addidi 23 *ῥαβδοῦχοι O*, corr. *F* 26 ῥάβδοι *O*, corr. *F* | *ἡγοῦντο O*, corr. *B*

αὐτῶν ὡς τὸ πάλαι, ἐξόπισθεν δὲ δορυφόρος εἷς ῥάβδους ἐπιμήκεις καθ' ὁμαλοῦ συνδήσας εἴωθεν ἐπιφέρεσθαι, οὐδὲ αὐτὸς εἰδὼς τὴν αἰτίαν τῆς φορᾶς, μόνῃ δὲ συνηθείᾳ ἀκολουθῶν. πασῶν δὲ τῶν ἀρχῶν τῆς πολιτείας ὁ ἵππαρχος ἐκράτει, καὶ οὐκ ἦν ἐφετόν τινι αὐτοῦ δικάζοντος ἐπὶ ἔφεσιν χωρεῖν. πλέον δὲ ἓξ μηνῶν οὐδεὶς τῶν δικτατόρων τοῦ κράτους τῆς μοναρχίας ἀντελάβετο, ἀλλὰ καὶ πολλῷ ἔλαττον, καὶ ἐπὶ μίαν μόνην ἡμέραν. καὶ χαλεπὸν οὐδὲν αὐτῶν τῶν δικτατόρων ἐπιμνησθῆναι, καὶ ὅσοι γεγόνασι, καὶ ἐπὶ πόσον χρόνον.

38. Πρῶτος δικτάτωρ Τίτος Μάρκιος, ὁ τοὺς πρὸ τοῦ ὑπάτους Τίτον καὶ Βαλέριον αὖθις προαγαγών· στάσεως δὲ γενομένης καὶ τῶν ὑπάτων ἀναχωρησάντων ὁ δικτάτωρ ἑτέρους ἀντ' ἐκείνων προεβάλετο καλένδαις Σεπτεμβρίαις. τῷ ἑπτακαιδεκάτῳ ἔτει τῶν ὑπάτων στάσεως γενομένης οὐ μικρᾶς τῇ τε γερουσίᾳ τῷ τε δήμῳ δύο τὸ πλῆθος προεχειρίσατο δημάρχους, ὥστε αὐτοῦς διαιτᾶν τοῖς δημόταις, καὶ τὴν ἀγορὰν ἐπισκέπτεσθαι, οἳ πρὸς ἀλαζονείαν ἀρθέντες οὐκ ἠρυθρίων καὶ αὐτῶν τῶν πατρικίων καταψηφίζεσθαι. τῷ δὲ εἰκοστῷ τρίτῳ τῶν ὑπάτων ἔτει εἰς τρεῖς μοίρας τὰ τῆς ἀρχῆς διῃρέθη, εἰς τοὺς ὑπάτους, εἰς τὸν τῆς πόλεως ὕπαρχον καὶ τὸν δῆμον· καὶ οἱ μὲν ὕπατοι διῴκουν τοὺς πολέμους, ὁ δὲ δῆμος ἐστρατεύετο, ὅ γε μὴν ὕπαρχος τὴν πόλιν ἐφύλαττε, custos urbis προσ-

v. 1 *ἡγοῦντο αὐτῶν ὡς τὸ πάλαι O*, *ὡς τὸ πάλαι* ante *ἡγοῦντο* transposuit *F* ep. p. 20 | *ῥαβδούχους O*, corr. *F* 2 *ὁμαλοὺς O*, corr. *B* 5 *ἐφειτόν* corr. O_2 ex *ἐφιτόν*, ut videtur; *ἐφιτόν* e I 47 *F*, *ἐφετόν* aut *ἐφικτόν* coni. *F* ep. p. 20, *θεμιτόν* coni. *B* 11 *μάρκιος O*, sed vide ad p. 37, 12 | *πρώτους O*, *πρὸ τοῦ* scripsi 12 *βελέριον O*, corr. *F* 15 post *σεπτεμβρίαις* maioribus litteris *ἑβδόμη προαγωγὴ δύο δείμαρχοι* *addit O, quem* titulum ad § 44 relegat *F* 25 CdSUblS cod.

αγορευόμενος, ὡσανεὶ φύλαξ τῆς πόλεως. τῷ δὲ ὀγδόῳ καὶ εἰκοστῷ τῶν ὑπάτων ἔτει διαφερομένων τοῦ δήμου καὶ τῆς βουλῆς, Αὖλος Σεμπρώνιος προσηγορεύθη δικτάτωρ, ὃς ἐκ μὲν τῆς βουλῆς Γάϊον Ἰούλιον, ἐκ δὲ τοῦ δήμου Κόϊντον Φάβιον χειροτονήσας ὑπάτους ἀπέθετο τὴν δικτατοῦραν. αὖθις ἐπὶ τοῦ τεσσαρακοστοῦ καὶ ὀγδόου τῶν ὑπάτων ἔτους προεβλήθη δικτάτωρ Γάϊος Μάμερκος. τοῦ δὲ δήμου πάλιν ἀστατοῦντος προεβλήθησαν χιλίαρχοι τρεῖς· ὧν σαλευόντων τὰ πράγματα ἀνηγορεύθη δικτάτωρ Τίτος Κύντιος, ὃς ἐν μόναις τρισὶ καὶ δέκα ἡμέραις κατευνασθείσης τῆς στάσεως ἀπέθετο τὴν ἀρχήν· τῷ δὲ ἑβδομηκοστῷ τετάρτῳ τῶν ὑπάτων ἐνιαυτῷ τῶν Τυρρηνῶν ταραττόντων τὰ πράγματα διὰ τὸ μέγεθος τοῦ πολέμου ἀνηγορεύθη δικτάτωρ Μάρκος Αἰμίλιος· μεθ' ὃν Πούπλιος, ὃς ἐν ἓξ καὶ δέκα μόναις ἡμέραις τὸν πρὸς τοὺς Τυρρηνοὺς διοικήσας πόλεμον ἀπέθετο. αὖθις δὲ τοῦ δήμου προστησαμένου χιλιάρχους καὶ τῆς βουλῆς ἀνθισταμένης, ἀνηγορεύθη δικτάτωρ Κόϊντος, ὃς ἐν ὀκτὼ ἡμέραις διαλλάξας τὴν πόλιν ἀπεπαύσατο· μεθ' ὃν Πούπλιος Κορνήλιος Κόσσος· μεθ' ὃν Τίτος Κύντιος. ἀπὸ δὲ τοῦ ἑκατοστοῦ τριακοστοῦ ἕκτου τῶν ὑπάτων ἐνιαυτοῦ, τρίτης καὶ ἑκατοστῆς Ὀλυμπιάδος ἐνισταμένης, ἄναρχος ἡ πόλις διετέλει ἐπὶ πενταετῆ χρόνον. αὖθις δὲ προαχθέντων ὑπάτων προεβλήθησαν ἐκ τῶν πατρικίων

v. 3 *λυλος* et sequentes litteras in rasura (fuerat *γαιον ιουλιον*) *O*, *Αὖλος* corr. *F* 5 *κοινθον O*, corr. *B* 8 *πάλιν στατοῦντος O*, *πάλιν στρατεύοντος* coni. *F*, *πάλιν στατεύοντος F* ep. p. 20, *παλινστατοῦντος B*, correxerunt F. Skutsch et Gu. Kroll 14 *τοῦ μεγέθους O*, corr. *B* 15 *μέσον O*, *μεθ' ὃν* corr. *F* 19 *κοινθος O*, corr. *B* 21 *ἐπὶ O*, *ἀπὸ* corr. F 22 *ἑκαστου*, *το* postea addidit *O* 25 *πατρίων* O, corr. F

ἀγορανόμοι τέσσαρες καὶ ταμίαι δύο καὶ πραίτωρ — οἱονεὶ στρατηγός — ⟨καὶ⟩ ληγᾶτοι — οἱονεὶ ὑποστράτηγοι — καὶ δυοκαίδεκα χιλίαρχοι, διὰ τὸ προσδοκᾶσθαι Ἀλέξανδρον τὸν Μακεδόνα κατὰ Ῥωμαίων στρατεύειν. ταραχθέντες δὲ οἱ Ῥωμαῖοι Παπίριον μὲν Κούρσορα στρατηγὸν ἀπαντῆσαι Ἀλεξάνδρῳ ἐψηφίσαντο, καὶ προεβάλοντο οἰωνοσκόπους καὶ ἱεροφάντας· σαφὴς δὲ προσδοκία ἥττας τοῖς ἐν καιρῷ πολέμου πρὸς λιτὰς καταφεύγουσιν. ἐπὶ δὲ τοῦ τρίτου καὶ ἑξηκοστοῦ καὶ διακοσιοστοῦ ἐνιαυτοῦ πραίτωρ ἕτερος προεχειρίσθη, ὁ λεγόμενος οὐρβανός — ἀντὶ τοῦ πολιτικός — καὶ ὁ λεγόμενος περεγρῖνος οἱονεὶ ξενοδόκης· τοῦ δὲ δήμου εἰς μέρη μὲν τέσσαρα, εἰς πέντε δὲ καὶ τριάκοντα φυλὰς διῃρημένου, τοῖς μνημονευθεῖσι τρεῖς ἕτεροι προσετέθησαν πραίτορες. τῷ δὲ ἐνενηκοστῷ ⟨καὶ διακοσιοστῷ⟩ τῶν ὑπάτων ἐνιαυτῷ, Ἀννίβου ἐνσκήψαντος τῇ Ἰταλίᾳ, διὰ τὸν ὄγκον τοῦ πολέμου οὐ μόνον δικτάτωρ, ἀλλὰ καὶ ἀντιδικτάτωρ, ἱππάρχης τε καὶ ἀνθιππάρχης προεχειρίσθησαν, ὥστε θάτερον τῇ θατέρου γνώμῃ ἑπόμενον μὴ ἐκ μονήρους αὐθεντίας βλάβην ἐπενεγκεῖν τῇ πολιτείᾳ. τούτων καὶ μόνων τῶν δικτατόρων ἤτοι μεσοβασιλέων μνήμην ἀναφέρει ἡ Ῥωμαϊκὴ ἱστορία· μετὰ δὲ τούτους Γάϊος Ἰούλιος Καῖσαρ, κατὰ τῆς συγκλήτου καὶ Πομπηΐου τὸν ὀλέθριον τοῖς πράγμασιν ἀναζωσάμενος πόλεμον, αὐτὸς ἑαυτὸν μόναρχον ἀπέδειξε, Λεπίδῳ ἱππάρχῃ χρησάμενος.

v. 2 *καὶ* addidi, sed numerus quoque desideratur 4 *μακιδόνα O*, corr. O_2 8 *ἥττας O*, *ἥττης* voluit *F* 10 post *ἐνιαυτοῦ* transposuit *τῶν ὑπάτων* e v. 16 Reuvens Collectan. litterar. p. 25 15 *καὶ διακοσιοστῷ* add. *F* ep. p. 21, cf. Reuvensii l. s. 17 *δικτάτορα* et 18 *ἀντιδικτάτορά O*, corr. *F* 18 *ἀντιππαρχης O*, corr. *F*

Κηνσοῦρα.

39. Ὁ δῆμος ἀνέκαθεν καὶ σύμπαν ἁπλῶς τὸ πολίτευμα ἐστρατεύετο, καὶ αὐτῶν τῶν ἱερέων τοῖς πολεμίοις ἐπεξιόντων· καὶ πάντες ἀπέτρεφον ἑαυτούς. ἐδέησε τοίνυν Ῥωμαίοις προβαλέσθαι τοὺς λεγομένους παρ᾽ αὐτοῖς κήνσορας, οἳ τὰς τῶν πολιτῶν οὐσίας ἀπεγράφοντο διὰ τὰς ἐν πολέμῳ δαπάνας· οὔπω γάρ, ὡς νῦν, τὸ δημόσιον ἐχορήγει τοῖς στρατιώταις, οἷα οὐκ ὄντων αὐτοῖς τέως ὑποτελῶν. ὅθεν τοὺς κήνσορας Ἕλληνες τιμητὰς καθ᾽ ἑρμηνείαν ἐκάλεσαν.

40. Τότε Τιτίνιος ὁ Ῥωμαῖος κωμικὸς μῦθον ἐπεδείξατο ἐν τῇ Ῥώμῃ. ὁ δὲ μῦθος τέμνεται εἰς δύο, ⟨εἰς τραγῳδίαν καὶ κωμῳδίαν· ὧν ἡ τραγῳδία καὶ αὐτὴ τέμνεται εἰς δύο⟩, εἰς κρηπιδᾶταν καὶ πραιτεξτᾶταν· ὧν ἡ μὲν κρηπιδᾶτα Ἑλληνικὰς ἔχει ὑποθέσεις, ἡ δὲ πραιτεξτᾶτα Ῥωμαϊκάς. ἡ μέντοι κωμῳδία τέμνεται εἰς ἑπτά, εἰς παλλιᾶταν τογᾶταν Ἀτελλάνην ταβερναρίαν Ῥινθωνικὴν πλανιπεδαρίαν καὶ μιμικήν· καὶ παλλιᾶτα μέν ἐστιν ἡ Ἑλληνικὴν ὑπόθεσιν ἔχουσα κωμῳδία, τογᾶτα δὲ ἡ Ῥωμαϊκήν, ἀρχαίαν· Ἀτελλάνη δέ ἐστιν ἡ τῶν λεγομένων ἐξοδιαρίων· ταβερναρία δὲ ἡ σκηνωτὴ ἢ θεατρικὴ κωμῳδία· Ῥινθωνικὴ ἡ ἐξωτική· πλανιπε-

v. 7 δαπάνας post ἐχορήγει (v. 8) *O*, transposuit *B* 9 ὄντος *O*, corr. *F* | ὑπο τελῶν *O*, corr. *F* 11 τό τετίνιος *O*, τότε Τίνιος *B*, τότε Λίβιος voluerunt Reuvens Collect. litt. p. 27 et Osann Anal. critic. p. 44, τότε Τιτίνιος coniecerunt *F* et F. Marx, Ind. lect. Rostoch. 1888—89 p. 13 12 δύο· ⟨εἰς τραγῳδίαν καὶ κωμῳδίαν· καὶ ἡ μὲν τραγῳδία⟩ εἰς suppl. Reuvens l. s. p. 35, quae duobus verbis mutatis recepi 14 κριπιδώτην et 15 κριπιδώτη *O*, corr. *F* | πρετέξαντα et 16 πρετέξατα *O*, corr. *F*, πραιτέξτα et πραιτέξταν coni. Osann l. s. p. 68 17 ἀντελάνην *O*, corr. *F* 19 κωμωδίαν *O*, corr. O_2 22 ἢ θεατρικὴ *O*, οὐ θεατρικὴ coni. Osann l. s. p. 69, pro glossemate habuit

δαρία ἢ καταστολαρία· μιμικὴ ἡ νῦν δῆθεν μόνη σωζομένη, τεχνικὸν μὲν ἔχουσα οὐδέν, ἀλόγῳ μόνον τὸ πλῆθος ἐπάγουσα γέλωτι.

41. *Ὅτι δὲ ἀναγκαῖον οἶμαι ἐμβραδῦναι τῷ λόγῳ, προσθήσω καὶ τοῦτο. Ῥίνθωνα καὶ Σκίραν καὶ Βλαῖσον καὶ τοὺς ἄλλους τῶν μυθηγόρων ἴσμεν οὐ μικρῶν διδαγμάτων ἐπὶ τῆς μεγάλης Ἑλλάδος γενέσθαι καθηγητάς, καὶ διαφερόντως τὸν Ῥίνθωνα, ὃς ἐξαμέτροις ἔγραψε πρώτως κωμῳδίαν· ἐξ οὗ πρῶτος λαβὼν τὰς ἀφορμὰς Λουκίλλιος ὁ Ῥωμαῖος ἡρωϊκοῖς ἔπεσιν ἐκωμῴδησε. μεθ' ὃν καὶ τοὺς μετ' αὐτόν, οὓς καλοῦσι Ῥωμαῖοι σατυρικούς, οἱ νεώτεροι τὸν Κρατίνου καὶ Εὐπόλιδος χαρακτῆρα ζηλώσαντες τοῖς μὲν Ῥίνθωνος μέτροις, τοῖς δὲ τῶν μνημονευθέντων διασυρμοῖς χρησάμενοι, τὴν σατυρικὴν ἐκράτυναν κωμῳδίαν· Ὁράτιος μὲν οὐκ ἔξω τῆς τέχνης χωρῶν, Πέρσιος δὲ τὸν ποιητὴν Σώφρονα μιμήσασθαι θέλων τὸ Λυκόφρονος παρῆλθεν ἀμαυρόν. Τοῦρνος δὲ καὶ Ἰουβενάλιος καὶ Πετρώνιος αὐτόθεν ταῖς λοιδορίαις ἐπεξελθόντες, τὸν σατυρικὸν νόμον παρέτρωσαν.*]

42. *Καὶ ταῦτα μὲν περὶ τῆς ἀρχαίας κωμῳδίας τε καὶ τραγῳδίας· τῆς δὲ τύχης τὰ Ῥωμαίων εἰς ὕψος*

Reuvens l. s. p. 51 | *ἐξωτικὴ O*, *ἐξαμετρικὴ* coni. ex insequenti paragrapho Osann. l. s. p. 75

v. 2 *οὐθένα λόγω O*, *οὐδέν, λόγῳ* coni. *F*, *οὐδὲν λόγῳ, μόνον ⟨δὲ⟩ τὸ* coni. Osann l. s. p. 78; ego correxi 5 *ἄσκηραν O*, *Ἀρήσαν* coni. Osann l. s. p. 74, correxerunt Reuvens l. s. p. 77 et G. Kaibel Fragm. Com. Gr. I 190 ex Athen. IX p. 402 b | *βλέσον O*, correxerunt Reuvens et Osann l. s. 6 *πυθαγορων O*, *Πυθαγορείων* coni. *F*; *φλυακογράφων* Reuvens l. s. p. 71, sed vide P. Schuster, Rhein. Mus. XXIX 1874 p. 610; *μυθηγόρων* scripsi | *οὐ μικρῶν O*, *οὐ μακρῶν* coni. Reuvens l. s. p. 72, *κωμικῶν* coni. Ad. Gottl. Lange, Verm. Reden und Schriften p. 99 not. 85 9 *ἔγρ. πρώτως O*, *ἔγρ. πρῶτος* O_2 19 *ἐπεξελθόντος O*, corr. *F* 21 *post τραγῳδίας* paragraphos distinguit *F*

ἀναφερούσης ἠκολούθησεν εἰκότως καὶ πταίσματα καὶ διαφερόντως ἀσωτία· ὥστε μετὰ τὸν δυοδεκάδελτον καὶ τὸν περὶ ἀσωτίας νόμον, παρὰ Κορινθίων πάλαι τεθέντα, γράψαι Ῥωμαίους· τίτλος δέ, ἤτοι προγραφή, τῷ νόμῳ de nepotibus οἱονεὶ ⟨περὶ ἀσώτων. ἐπεὶ δὲ διπλῆ⟩ ἡ σημασία τοῦ ὀνόματος τούτου ἐστι παρὰ Ῥωμαίοις — νέπωτας γὰρ καὶ τοὺς ἐγγόνους καὶ τοὺς ἀσώτους ὁμωνύμως καλοῦσιν — ἤρεσεν ἐμοὶ διὰ βραχέων τὴν διαφορὰν εἰπεῖν. νέπως ὁ νέος παῖς ἐξ Ἑλληνικῆς ἐτυμολογίας ὁ ἔγγονος λέγεται, ὡς καλῶς ὁ Φιλόξενος εἶπεν· nepos δὲ καὶ ὁ ἄσωτος, ὅπερ καὶ αὐτὸ τροπικῶς. καὶ κατὰ θεωρίαν τάχα τοῖς Ἕλλησι παραχωρητέον, ὅτι τὸν σκορπίον οἱ Ῥωμαῖοι πατρίως νέπαν καλοῦσιν οἱονεὶ ἄποδα κατὰ στέρησιν — τὴν γὰρ ʽνεʼ συλλαβὴν στερητικῷ τρόπῳ λαμβάνουσι Ῥωμαῖοι, ὥσπερ Ἕλληνες νήλιπος νήχυτος νήγρετος νήδυμος — ἐκ τοῦ κατὰ φύσιν συμβαίνοντος τῷ θηρίῳ. ὥρᾳ γὰρ χειμῶνος καὶ αὐτὸς εἰκότως ὁ σκορπίος τῇ γῇ καθάπερ καὶ τὰ ἄλλα τῶν ἑρπετῶν ὑπονεκρωθεὶς κεῖται, μηδὲν ἕτερον παρ᾽ αὐτὴν ἐσθίων. ἡνίκα οὖν πᾶσαν τὴν περὶ ἑαυτὸν ἐδώδιμον γῆν ἑαυτῷ δαπανήσῃ, τῶν ἰδίων καθάπτεται πλεκτανῶν καὶ πάσας αὐτὰς ἀνεπαισθήτως καταναλίσκει. ἦρος δὲ ἀνακαλοῦντος αὐτὸν μετὰ τῶν ἄλλων εἰς φῶς νόμῳ τῆς φύσεως, ἀναποδοῦται καὶ πρὸς καλαμίνθην τὸ φυτὸν

v. 2 *των* (corr. *F*) *δυοδεκαδελτον O*, *τῶν δυόδεκα δέλτων* O_2 3 *μόνον O*, *νόμον* corr. *F* 5 dENEPOTIbUS cod. | *οἱονεὶ O*, *ἐπεὶ δ᾽ οὐχ ἁπλῆ* coni. B, lacunam statuit explevitque F. Skutsch 6 *τουτέστι O*, corr. *B* 7 *νώπωτας O*, corr. *F* 9 *ὁ νέος O*, *οἱονεὶ νέος* coni. *B* 10 *καὶ καλῶς O*, corr. *B* 11 *νέροσ* cod. | *αὐτὸς O*, quod correxi 14 *$\overline{\nu\epsilon}$ O* 15 *νήλυπος O*, corr. *B* 17 *θηρίω ως αρα γὰρ* et *αρα* in *ωρα* corr. *O*, *θηρίω. σαῦρα γὰρ* O_2 *F*, verum vidit *B* 22 *ηρους O*, corr. O_2 23 *ἀνακαλούντων O*, corr. O_2

ἐρχόμενος μόνῃ τῇ ἁφῇ τῆς βοτάνης ἀναλαμβάνει τὸ δριμὺ καὶ στεγανοῦται, καθάπερ ὄφις τῇ μαράθῳ· ὅθεν καὶ νεπέταν τὴν καλαμίνθην Ῥωμαῖοι καλοῦσιν. ταύτῃ ⟨τοὺς⟩ σκορπιστὰς νέπωτας ἀποκαλοῦσιν αὐτοί, οἷα τῶν ἰδίων μελῶν διαφθορεῖς.

43. *Τοιαῦτα μέν τινα παρατραπεὶς τοῦ σκοποῦ εἴποιμ' ἂν περὶ τούτου· βαρεῖς δέ τινες καὶ ἀναιδεῖς ἀστεμφεῖς τε καὶ στιβαροὶ τὸν τρόπον οἱ κήνσορες τοῖς ἀσώτοις ἐτύγχανον, μὴ τύχης, μὴ ἀξιώματος ἐξαιρουμένου τὸν αἴτιον. ὅτι δὲ ἀληθῆ ταῦτα, μάρτυς ἡ ἱστορία· λέγει δέ· 'πρῶτος Ἄππιος Κλαύδιος κήνσωρ προεβλήθη. ἀρχὴ δὲ ἦν αὕτη τῶν μεγίστων· καὶ ἔργον ἦν αὐτῇ τοὺς τῶν πολιτῶν διερευνᾶσθαί τε καὶ κρίνειν βίους, τιμωρίας τε ἐπάγειν τοῖς ἁμαρτάνουσι κατὰ πάσης δυναστείας· καὶ οὐδεὶς ἦν ἔξω τῆς τοῦ κήνσορος ἐξουσίας.' κύριοι δὲ ἦσαν οἱ κήνσορες καὶ ἔργοις κοινοῖς κατακοσμεῖν τὴν πόλιν.*

Δημαρχία.

44. *Οὕτως οὖν τῶν τιμητῶν ἐκταραττόντων τοὺς ὑπηκόους καὶ πικρότερον ἐπεξιόντων τοῖς πολίταις, καὶ διαφερόντως ἀδυσωπήτως διακειμένων τῶν δανειστῶν περὶ τοὺς χρήστας, ἐχειροτόνησεν ὁ δῆμος δύο δημάρχους ἑαυτῷ, Γάϊον Λικίνιον καὶ Λούκιον Ἀλβῖνον, διαιτήσοντας τῷ πλήθει καὶ τὴν ἀγορὰν ἐποψομένους. αὐτοὶ δὲ οἱ δήμαρχοι μαχαίρας διεζώννυντο, δημοσίους δὲ οἰκέτας πρὸς ὑπηρεσίαν εἶχον, οὓς ἑκά-*

v. 3 *κα|μινθιν O*, *λα* add. O_2 4 *σκορπιστὰς νέωτας O*, *σκορπίους τοὺς ἀσώτους* coni. *F*, *σκορπίους τοῦς νέπωτας F* ep. p. 21, *τοὺς σκορπιστὰς νέπωτας* coni. *B* 6 a *βαρεῖς* paragraphum orditur *F* 12 *αὔτη τοὺς O*, corr. F. Skutsch 18 vide titulum, quem p. 38, 16 inseruit *O* 24 *ἀνεποψομένους*, quod correxit, *O* 25 *μαχαίραις O*, corr. *F*

λουν βερνάκλους· σημαίνει δὲ τοὔνομα τοὺς οἰκογενεῖς οἰκέτας. ἐφ' ὧν τὸ μέτριον ὁ δῆμος ἐκβὰς καὶ αὐτοὺς τοὺς εὐπατρίδας καλεῖσθαι πρὸς τῶν βαναύσων εἰς δίκην ἐνομοθέτησεν· ὥστε τὸν ὕπατον πρὸς θεραπείαν τοῦ πλήθους νόμον ἐνεγκεῖν, μὴ ἐξεῖναι τοῖς ἄρχουσι δίχα ψήφου τοῦ δημάρχου τιμωρεῖσθαι πολίτην.

45. *Εἶτα αὖθις διαφερομένων τῶν λογάδων πρὸς τὸ πλῆθος, ψήφῳ κοινῇ τοὺς μὲν ὑπάτους ἀπεκίνησαν, δέκα δὲ νομοθέταις τὴν διάσκεψιν τῶν κοινῶν ἐπέτρεψαν. ἀπὸ δὲ τοῦ ἑξηκοστοῦ ἔτους τῶν ὑπάτων ἐπὶ πεντήκοντα ἐνιαυτοὺς ποτὲ μὲν χιλιάρχων, ποτὲ δὲ μεσοβασιλέων προβαλλομένων ἐθορυβεῖτο τὰ πράγματα. τότε σιτηρέσιον τὸ δημόσιον πρώτως τοῖς στρατιώταις ἐπιδέδωκεν ὡρισμένον, τὸ πρὶν ἑαυτοὺς ἀποτρέφουσιν ἐν πολέμῳ. ἔνθεν ἀναρχίαν ἐδυστύχησε τὸ πολίτευμα ἐπὶ πενταετῆ χρόνον· καὶ πάλιν ὕπατοι, εἶτα ἀγορανόμοι τέσσαρες ἐκ τῶν πατρικίων καὶ ταμίαι δύο καὶ πραίτωρ ἕτερος· καὶ πάλιν ὁ δῆμος προεχειρίσατο πέντε μὲν οἰωνοσκόπους, τέσσαρας δὲ ἱεροφάντας. ἐπὶ δὲ τοῦ τρίτου καὶ ἑξηκοστοῦ καὶ διακοσιοστοῦ τῶν ὑπάτων ἔτους ἕτερος προεβλήθη πραίτωρ, ὥστε τοῖς ξένοις διαιτᾶν. τὸν δὲ ἐνιαυτὸν οἱ πραίτορες ἐπὶ τῆς ἀρχῆς οὐχ ὑπερέβαινον. ἄχρι δὲ Καίσαρος ὕπατοι μὲν τὸν πόλεμον, τὰ δὲ κατ' οἶκον οἱ πολιτικοὶ διῴκησαν ἄρχοντες.*

v. 7 post *πολίτην* maioribus litteris *δεκανδρικὴ ἐξουσία ἣν ἐκάλουν ἰταλοὶ* dEGEПISIПATUM habet *O*, titulum e § 34 huc delapsum delevit *F* 13 *προσβαλλομένων* *O*, corr. O_2 14 *πρωτος* *O*, *πρῶτον* *F*, *πρώτως* scripsi 20 *τεσσαρες* *O*, corr. O_2 24, 25 *με///|τῶν πολεμων* (erasa una littera) *O*, *μετήρχοντο τὰ τῶν πολέμων* O_2, *μὲν τὰ τῶν πολέμων* coni. *F*, *μὲν τὸν πόλεμον* scripsi

Πότε ἐπεδόθη πρῶτον τοῖς στρατιώταις τὰ λεγόμενα καπητὰ καὶ τί σημαίνει τὸ καπητὸν ὄνομα.

46. *Τῷ πέμπτῳ καὶ ἑξηκοστῷ καὶ τριακοσιοστῷ τῆς πόλεως ἔτει, Λουκίου Γενουκίου καὶ Κοΐντου Σερβιλίου ὑπάτων, πολεμούντων Βηΐοις τοῖς γείτοσι τῶν Ῥωμαίων, ἀνάγκη γέγονε μὴ διαθερίσαι μόνον, ἀλλὰ μὴν καὶ διαχειμάσαι αὐτοῖς παρὰ τοῖς πολεμίοις· τότε πρῶτον διωρίσθη τοῖς στρατιώταις παρασχεῖν τὸ δημόσιον καὶ ὑπὲρ ἵππου δαπάνης τὰ λεγόμενα καπητά· οὕτω δὲ τοὺς ἀπὸ ῥάβδων κοφίνους ἐκάλεσαν ἀπὸ τοῦ κάπερε οἱονεὶ χωρεῖν· ἔνθεν ὑποκοριστικῶς τὰ λεγόμενα καπίτουλα πατρίως οἱ Ῥωμαῖοι ὀνομάζουσι. τοῦ δὲ δήμου ἀνέκαθεν στρατευομένου παντός, συνεῖδον ὡρισμένην καὶ εὐτρεπῆ συστήσασθαι βοήθειαν· σπείρας μὲν ἀπὸ τριακοσίων ἀσπιδιωτῶν, ἃς καλοῦσι κοόρτης, ἄλας δέ — ἀντὶ τοῦ ἴλας — ἀπὸ ἑξακοσίων ἱππέων, βηξιλλατίωνας ἀπὸ πεντακοσίων ⟨ἱππέων, τούρμας ἀπὸ πεντακοσίων⟩ τοξοτῶν ἱππέων, καὶ λεγιῶνας ἀπὸ ἑξακισχιλίων πεζῶν καὶ ῥητῶν ἱππέων. τομαὶ δὲ ταῖς λεγιῶσι αὗται·*

Ἆλαι ἀπὸ χʹ ἱππέων
βηξιλλατίωνες ἀπὸ φʹ ἱππέων
τοῦρμαι ἀπὸ φʹ τοξοτῶν ἱππέων
λεγιῶνες ἀπὸ ἑξακισχιλίων πεζῶν.

v. 2 *καπιτὸν* (sed *καπητὰ*) et v. 10 *καπιτὰ O*, quae correxi 5 *γενουκτίου O*, corr. *B* | *κοίνθου O*, corr. *B* 13 *καπιτούλια O*, quod correxi 17 *ἄλλας O*, *ἄλας* corr. *F* 18 *βιξαλλατιωνας O*, quod correxi | supplementum addidi e v. 23 sq. 19 *λεγειῶνας O*, *λεγεῶνας* O_2 22 *ειναι O*, *ἶλαι* coni. *F* ep. p. 21, *ἆλαι* scripsi 25 post *ἑξακιλίων* (sic) *πεζων* lineamenta quaedam in *O* picta sunt, quibus fines librorum indicare solent.

Τριβοῦνοι, δήμαρχοι
ὀρδινάριοι, ταξίαρχοι
σιγνηφέροι, σημειοφόροι
ὀπτίωνες, αἱρετοὶ ἢ γραμματεῖς
βηξιλλάριοι, δορυφόροι
μήνσορες, προμέτραι
τουβίκινες, σαλπισταὶ πεζῶν
βουκινάτορες, σαλπισταὶ ἱππέων
κορνίκινες, κεραῦλαι
ἀνδαβάται, κατάφρακτοι
μητάτορες, χωρομέτραι
ἄρκυτες καὶ σαγιττάριοι, τοξόται καὶ βελοφόροι
πραιτωριανοί, στρατηγικοί
λαγκιάριοι, ἀκοντοβόλοι
δεκεμπρῖμοι, δεκάπρωτοι
βενεφικιάλιοι, οἱ ἐπὶ θεραπείᾳ τῶν βετερανῶν τεταγμένοι
τορκουᾶτοι, στρεπτοφόροι, οἱ τοὺς μανιάκας φοροῦντες
βραχιᾶτοι ἤτοι ἀρμιλλίγεροι, ψελιοφόροι
ἀρμίγεροι, ὁπλοφόροι
μουνεράριοι, λειτουργοί
δηπουτᾶτοι, ἀφωρισμένοι
αὐξιλιάριοι, ὑπασπισταί

v. 3 *σιγνηφέραι* O, *σιγνηφόροι* O_2, corr. Th. Preger 5 *βιξιλλάριοι* O, quod correxi 7 *τούβικες* et 9 *κόρνικες* O, quae correxi 10 *ἀνδραβάται* O, corr. F 12 *ἀρκύτεις* O, quod correxi 16 *μετεράνων* O, corr. F | *τεταγμένοι στρεπτοφόροι* O, *στρεπτοφόροι* delevit F 18 *τουρκουάτοι* O, quod correxi | *οἱ τοὺς μανιάκας φοροῦντες* falso cum *βραχιάτοι* iunxit O, quo factum est, ut verborum ordo usque ad v. 22 *ἀφωρισμένοι* turbaretur; corruptelam sanavit F 20 *αρμιγερροι* O, quod correxi 21 *μουνευράριοι* O, corr. F 23 *αὐξηλιάριοι* O, quod correxi

κουσπάτορες, φυλακισταί· κούσπους γὰρ Ῥωμαῖοι τὰς ξυλοπέδας καλοῦσι, ὡσανεὶ κουστώδης πεδῶν, οἱονεὶ ποδοκάκας καὶ ποδοφύλακας.

ἱμαγινιφέροι, εἰκονοφόροι

ὀκρεᾶτοι, πεζοὶ σιδήρῳ τὰς κνήμας περιπεφραγμένοι

ἀρματοῦρα πρίμα, ὁπλομελέτη πρώτη

ἀρματοῦρα σημισσάλια, ὁπλομελέτη μείζων

ἀστᾶτοι, δορυφόροι

τεσσεράριοι, οἱ τὰ σύμβολα ἐν τῷ καιρῷ τῆς συμβολῆς τῷ πλήθει περιφημίζοντες

δρακονάριοι, δρακοντοφόροι

ἀδιούτορες, ὑποβοηθοί

σαμιάριοι, οἱ τῶν ὅπλων στιλπνωταί

βαγινάριοι, θηκοποιοί

ἀρκουάριοι, τοξοποιοί

πιλάριοι, ἀκοντισταί

βερουτάριοι, δισκοβόλοι

φουνδίτορες, σφενδον[ῆται]

βαλλιστάριοι, καταπελτισταί· καταπέλτης δέ ἐστιν εἶδος ἑλεπόλεως, καλεῖται δὲ τῷ πλήθει ὄναγρος.

βινεάριοι, τειχομάχοι

πριμοσκουτάριοι, ὑπερασπισταί, οἱ νῦν λεγόμενοι προτίκτ[ορες]

πριμοσαγιττάριοι, τοξόται πρῶτοι

κλιβανάριοι, ὁλοσίδηροι· κηλίβανα γὰρ οἱ Ῥωμαῖοι τὰ σιδ[ηρᾶ] καλύμματα καλοῦσιν ἀντὶ τοῦ κηλάμινα.

v. 2 πεδων *O*, ποδῶν coni. *B*   3 ποδοκόκας *O*, corr. O_2 4 ἱμαγινιφέρης *O*, quod correxi   5 περιπεφθραγμένοι *O*, corr. *F*   7 σιμισσάλια *O*, quod correxi   9 συμβουλῆς *O*, corr. *F*   15 ἀρκουάρεις *O*, corr. *F*   18 φουνδάτορες *O*, corr. *F*   22 προτικοκτ .... *O*, corr. *F*   25 utrum κηλάμινα an κηλέμινα habeat *O*, haud dispicitur

φλαμμουλάριοι, ὧν ἐπὶ τῆς ἄκρας τοῦ δόρατος φοινικᾶ ῥάκη ἐξήρτηντο

ἐξπεδῖτοι, εὔζωνοι, γυμνοί, ἕτοιμοι πρὸς μά[χην]

φερεντάριοι, ἀκροβολισταί

κιρκίτορες, οἱ περὶ τοὺς μαχομένους περιϊόντες καὶ χορηγοῦντες ὅπλα μήπω ἐπιστάμενοι μάχεσθαι

ἀδωράτορες βετερανοὶ τίρωνες, περὶ ὧν εἰς πλάτος οἶμαι δεικτέον.

47. Ἀδωράτορας οἱ Ῥωμαῖοι τοὺς ἀπομάχους καλοῦσιν — ἀδωρέα γὰρ κατ' αὐτοὺς ἡ τοῦ πολέμου λέγεται δόξα ἀπὸ τῆς ζειᾶς καὶ τῆς τιμῆς τῶν ποτε τιμηθέντων αὐτοῖς —, βετερανοὺς δὲ τοὺς ἐγγεγηρακότας τοῖς ὅπλοις — μάρτυρες Κέλσος τε καὶ Πάτερνος καὶ Κατιλίνας, οὐχ ὁ συνωμότης ἀλλ' ἕτερος, Κάτων <τε> πρὸ αὐτῶν ὁ πρῶτος καὶ Φροντῖνος, μεθ' οὓς καὶ Ῥενᾶτος, Ῥωμαῖοι πάντες· Ἑλλήνων δὲ Αἰλιανὸς καὶ Ἀρριανός, Αἰνείας, Ὀνήσανδρος, Πάτρων, Ἀπολλόδωρος ἐν τοῖς πολιορκητικοῖς, μεθ' οὓς Ἰουλιανὸς ὁ βασιλεὺς ἐν τοῖς μηχανικοῖς — ὧν ὁ Φροντῖνος ἐν τῷ de offici<o leg>ati, ἀντὶ τοῦ ἐν τῷ περὶ στρατηγίας, μνήμην ποιεῖται, καὶ Κλαυδιανὸς δὲ οὗτος ὁ Παφλαγών, ὁ ποιητής, ἐν τῷ πρώτῳ τῶν Στιλικῶνος ἐγκωμίων. τί-

v. 22 Claudian. laud. Stilic. I 384

v. 4 φερενταραριοι *O*, corr. *F* 7 ἀδωράτορες et 9 ἀδωράτορας *O*, ἀδωρεάτορες et ἀδωρεάτορας volebat *F* ep. p. 22 e Crameri coniectura 12 αὐτῇ coni. Gu. Kroll | βετεριανοὺς *O*, corr. *F* 14 τε addidi 17 ὀνήσανδρος *O*, corr. *F* 19 ante ὧν addiderunt καὶ Koechli et Ruestow *Griechische Kriegsschriftsteller* II 1 p. 82 not. 193, eodem loco interpositionem clausit F. Buecheler, Rhein. Mus. XXXIX 1884 p. 282 | ὧν ὁ Φροντῖνος — 22 Στιλικῶνος ἐγκωμίων post v. 9 καλοῦσιν posuit Th. Birt in editione Claudiani p. III | dEOF\FOCIAT\ cod., corr. *F* 21 παμφλαγών *O*, corr. O₂

ρωνας δὲ τοὺς ταπεινούς, ὁποίους εἶναι συμβαίνει καθ' ἡμᾶς τοὺς λεγομένους Τριβαλλούς· οὕτως δὲ τοὺς Βέσσους Ἀρριανὸς ἐν τοῖς περὶ Ἀλεξάνδρου προσηγόρευσε. διὰ γὰρ πενίαν καὶ μόνην διδοῦσιν ἑαυτοὺς οἱ λεγόμενοι τίρωνες εἰς ὑπερησίαν τῶν ἀληθῶς στρατευομένων, οὐ μὴν ἄξιοι τέως στρατιῶται καλεῖσθαι ἢ ὅλως ἐν ἀριθμῷ τέως τετάχθαι, διά τε τὸ πτωχὸν τῆς τύχης καὶ ἄπειρον τῆς μάχης· οὐδὲ γὰρ ἐφετὸν ἦν ὑπὲρ πατρίδος εἰ μή γε τοὺς εὐπατρίδας ἀγωνίσασθαι. Διόδωρος γοῦν ἐν δευτέρᾳ βιβλιοθηκῶν φησι, Σόλωνα ἐν Αἰγύπτῳ μαθόντα νόμον Ἀθηναίοις γράψαι τοιοῦτον, ὥστε εἰς τρεῖς μοίρας τὴν πολιτείαν διατάττεσθαι· εἰς εὐπατρίδας, οἳ περὶ σοφίαν καὶ λόγους ἐσχόλαζον, δευτέραν δὲ τὴν γεωργικὴν ἅμα καὶ πρόμαχον, τρίτην τὴν βάναυσον καὶ τεχνουργόν· τὴν δὲ μετὰ ταύτας ἄτιμον, ἐξ ἧς οἱ δῆθεν χρειωδέστεροι ἐν τοῖς γεωργικοῖς ἅμα καὶ μαχίμοις προσήδρευον, δουλεύοντες αὐτοῖς καὶ τὸ πολεμεῖν καὶ γεωργεῖν διδασκόμενοι· τούτους Ἰταλοὶ τείρωνας ἐκάλεσαν ἀπὸ τοῦ τείρεσθαι καὶ ταλαιπωρεῖν ἐν τῷ δουλεύειν. Ἀθηναίους γὰρ ἐν ἅπασιν οἱ Ῥωμαῖοι ζηλώσαντες οὕτω καὶ αὐτοὶ τὸν δῆμον διέθηκαν. ταύτῃ γὰρ καὶ τρίβους τὰς φυλὰς ἐπωνόμασαν ἐκ τῆς εἰς τρεῖς μοίρας τῆς πολιτείας διανομῆς.

48. Καὶ οὗτοι μὲν ἐκ προσθήκης ἐτάχθησαν, ὥς τινες τῶν ἱστορικῶν φασιν, ὑπὸ Μαρίου τοῦ ὕστερον τυραννήσαντος. οἱ δὲ ἀνέκαθεν τῷ ἱππάρχῳ ἑπόμενοι

v. 10 Diod. I 28. I 98

v. 3 βεσους O, quod correxi | ἀρριανωθεν O, ἀρριανὸς ἐν O₂ | προηγόρευσε O, corr. F 4 διδωσιν O, corr. F 7 διὰ δὲ O, corr. F 8 ἐφιτὸν O, ἐφετὸν aut ἐφικτὸν coni. F ep. p. 20, θεμιτὸν coni. B; cf. p. 38, 5 16 ἐν del. Gu. Kroll 26 ἀνέθηκαν O, ἀνέκαθεν corr. F

προμῶται καθ' ὁμαλοῦ προσηγορεύθησαν, συνεστῶτες εἰς τάγματα τέσσαρα· βιάρχους δουκιναρίους κεντουρίωνας ⟦*κεντιναρίους*⟧ ....

... ⟦*ἐκ τούτων*⟧ *μὲν πάντων δέκα μὲν δήμαρχοι, δύο δὲ ὕπατοι καὶ ὀκτὼ πραίτορες καὶ ἓξ ἀγορανόμοι ἐπὶ τῆς πόλεως ἀπέμειναν καὶ μόνοι.' ταῦτα ὁ Πομπώνιος, ὡς ἔοικε, τὸ πλῆθος καὶ ποικίλον τῆς ἱστορίας διαφυγών. ὅ γε μὴν Οὐλπιανὸς ἐν τοῖς προγραφομένοις προτριβουναλίοις λεπτοτέρως τοὺς περὶ τῶν πραιτόρων διεξῆλθε λόγους, τοὺς μὲν* tutelarios, *τοὺς δὲ* fideicommissarios *ὀνομάζων· ὧν ἅπαξ σχολαζόντων οὐ συνεῖδον μνησθῆναι.*

49. *Τοσούτων ἀρχόντων ἐκ προοιμίων τῆς Ῥωμαϊκῆς πολιτείας μέχρι τῆς ἐπιεικεστάτης βασιλείας Τίτου μνήμην ἐν ταῖς ἱστορίαις εὑρὼν πέρας ἐπιθήσω τῷ λόγῳ. οὐδὲ γὰρ τῶν Δομιτιανοῦ δυοκαίδεκα πολιάρχων οὐδὲ μὴν τῶν Βασσιανοῦ τὸ ἐπίκλην Καρακάλλου νεωτερισμῶν μνήμην ποιήσασθαι συνεῖδον· τὰ γὰρ παρὰ τῶν κακῶς βεβασιλευκότων γενόμενα, κἂν ὦσι χρηστά, καταφρονείσθω.*

v. 6 Pomponius Dig. I tit. II 34   8 cf. Ulpiani *de fideicommissis* libros sex et librum *de officio praetoris tutelaris* singularem (Lenel Palingen. Iur. Civ. II 903. 962)

v. 1 *προηγορεύθησαν O*, corr. *F*   3 post *κεντουριανος* (quod corr. *F*) duo folia interciderunt in *O*, *κεντιναρίους* supplevi e III 7   4 *ἐκ τούτων* supplevit Heffter, Rhein. Mus. f. Iurispr. II 1828 p. 120   5 *ὀκτὼ O*, *decem et octo* Dig. 6 *ἀπέμειναν O*, *ἀπένειμαν* coni. Heffter l. s.   8 *διαφυγὼν O*, *διαφεύγων* coni. *B*   10 TUTELAΠIUSTOYCΔOFIΔEICOΠIΠIIS SAΠIUS cod.   17 *τὸ O*, *τοῦ* coni. *F*

Περὶ τοῦ ὑπάρχου τῶν νυκτῶν.

50. Τρίβυρες, ἔθνος Γαλατικόν, ταῖς ὄχθαις τοῦ Ῥήνου παρανεμόμενοι, ὅπου καὶ Τρίβυρις ἡ πόλις — Συγάμβρους αὐτοὺς Ἰταλοί, οἱ δὲ Γαλάται Φράγγους καθ' ἡμᾶς ἐπιφημίζουσιν —, ἐπὶ Βρέννου ποτὲ διὰ τῶν Ἄλπεων σποράδην ἀλώμενοι ἐπὶ τὴν Ἰταλίαν ἐξηνέχθησαν διὰ τῶν ἀνοδεύτων καὶ ἀκανθωδῶν ἐρημιῶν, ὥς φησιν Βεργίλιος. εἶτα καὶ διὰ τῶν ὑπονόμων ἐπελθόντες τὴν Ῥώμην καὶ αὐτὸ δὲ τὸ Καπιτώλιον ἐκράτησαν, ὅτε τῶν ἐν τῷ ἱερῷ χηνῶν ταραχθέντων ὑπὸ τῶν βαρβάρων ἀκράτῳ νυκτὶ φανέντων διεγερθεὶς Μάλλιος ὁ στρατηγός — γείτων δὲ ἦν — τοὺς μὲν βαρβάρους ἐξώθησε, τοῖς δὲ χησὶν ἑορτὴν καὶ ἱπποδρομίαν ἄγειν Ῥωμαίοις, τοῖς δὲ κυσὶν ὄλεθρον κατὰ τὸν ἐν λέοντι ἥλιον διώρισε. τούτων οὕτως τότε γενομένων νόμος ἐτέθη ὁ προάγων τοὺς φύλακας τῶν νυκτῶν. καὶ ὅσον μὲν πρὸς τὸ μῆκος τοῦ χρόνου, ἐχρῆν ἡμᾶς ἔμπροσθεν τούτων ἐπιμνησθῆναι· ἀλλ' ἐπειδὴ μὴ ταῖς ἀρχαῖς τῆς πολιτείας καὶ τουτὶ συναριθμεῖσθαι τὸ φρόντισμα νόμος, σύστημα δὲ καὶ σῶμα τυγχάνει λειτουργίας χάριν ἐπινοηθέν, εἰκὸς ἦν καὶ αὐτὸ ὡς γοῦν πέρας τι τῶν ἀρχῶν παραθέσθαι. οὐ γὰρ μόνον τὴν πόλιν ἐξ ἐπιδρομῆς καὶ λανθανούσης ἐφόδου πολεμίων ἀπήμαντον καὶ ἀστασίαστον ἐμφυλίου βλά-

v. 8 Verg. Aen. VIII 657

v. 4 *συνγάμβρους* O, corr. *B* | *οἷον* O, *οἱ* corr. *F* 6 *ἀλλώμενοι* O, corr. *F* 8 *οὐεργίλιος* O, quod mutavi 14 *ῥωμαίοις* O, *ῥωμαίους* coni. *F* ep. p. 23 15 *ἐλεοντι* O, *ἐν λέοντι* corr. O_2 20 *φρόντιμα* O, corr. O_2 21 *λειτουργις* O, corr. O_2 22 *πέρατι* O, *πέρας τι* conieci

βης φυλάττουσιν, ἀλλὰ καὶ τοῖς ἀπὸ τῶν ἐμπρησμῶν βλαπτομένοις ἀμύνουσι. καὶ μάρτυς Παῦλος ὁ νομοθέτης αὐτοῖς ῥήμασι καθ' ἑρμηνείαν οὕτως· 'τὸ τριανδρικὸν σύστημα παρὰ τοῖς παλαιοῖς διὰ τοὺς ἐμπρησμοὺς προεβάλοντο, οἳ καὶ νυκτερινοὶ ἐκ τοῦ πράγματος ἐλέγοντο. συνῆσαν δὲ αὐτοῖς καὶ οἱ ἀγορανόμοι καὶ δήμαρχοι ὑπουργῶν ⟨τε⟩ κολλήγιον, ἀντὶ τοῦ σύστημα, ὃ περὶ τὰς πύλας τῆς πόλεως ᾤκει καὶ τὰ τείχη, ὥστε τῆς χρείας καλούσης εὐχερῶς εὑρισκομένους συντρέχειν.' οὕτω μὲν ὁ Παῦλος. ὅτι δὲ ἀληθὴς ὁ λόγος ⟨ἐστίν, ἰδεῖν⟩ ἔστι καὶ νῦν τοιούτου τινὸς ἀεὶ συμβαίνοντος ἀνὰ τὴν πόλιν· οἱ τυχὸν ἐπικαίρως ἐξ αὐτῶν εὑρισκόμενοι βοῶντες τῇ πατρίῳ Ῥωμαίων φωνῇ· omnes collegiati ⟨adeste⟩ *οἷον εἰπεῖν· 'πάντες ἑταῖροι συνδράμετε.'*

51. *Τούτων οὕτω προαχθέντων ἕκτον καὶ ἑπτακοσιοστὸν ἔτος τῇ πόλει ἐκεχωρήκει, Καῖσαρ δὲ μοναρχῶν πάσας μὲν ἀπέπαυσε τὰς ἀρχάς, τὴν δὲ τῶν ὅλων δύναμιν ἀρχῶν ἀνεζώσατο μόνος. καὶ τρισὶν ἐνιαυτοῖς διαρκέσας αὐτὸς μὲν ἐν τῇ βουλῇ κατεσφάγη· τὸ δὲ λοιπὸν Καῖσαρ ὁ νέος ἀδελφιδοῦς ἐκείνου, μεθ' ὃν τὸ κράτος εἰς τοὺς Καίσαρας περιέστη.*

v. 2 Dig. I tit. XV

v. 7 *ὑπουργοὶ O*, *ὑπούργει δὲ* coni. *B*, *ὑπουργῶν τε* scripsi 8 *οπερ O*, *ὃ περὶ* corr. *B* 11 *ἐστίν, ἰδεῖν* addidi | *απει* (*απει* correctum ex *απο*) *O*, quod in *ἀπείη* mutavit O_2, in *ἅμα F* ep. p. 23, qui post *ἀληθές* (*ἀληθὴς O*) distinxit; *ἀεὶ* coni. Gu. Kroll 13 OMNISCOLLICIATAS cod., *omnes collegiati* scripsit *F*, ego addidi: *adeste* 14 *ἕτεροι O*, *ἑταῖροι* corr. O_2 16 *προσαχθέντων O*, corr. *F* 17 *κεχωρήκει O*, quod mutavi

ΛΟΓΟΣ ΔΕΥΤΕΡΟΣ.

Περὶ Καίσαρος καὶ τῶν Καίσαρος ἐπισήμων.

1. Οἱ τυραννίδα καθ' ὁντιναοῦν καιρὸν τολμήσαντες οὐ μόνον τοὺς ἐν οἷς ἐγένοντο καιροῖς ἐλυμήναντο, ἀλλὰ καὶ τοῖς μεταγενεστέροις πρὸς βλάβης ἐγένοντο, ζηλωτὰς κακῶν τοῖς ὑπηκόοις ἀπολιμπάνοντες. Μαρίου τοίνυν τυραννήσαντος καὶ ὑπουργήσαντος Σύλλας ἀναστὰς ἀντετυράννησεν· αὐτῶν δὲ ἀλλήλοις ἀντιφερομένων ἡ Ῥωμαίων μεταίχμιον οὖσα τοῖς τυράννοις ἐσπαθίζετο πολιτεία. καὶ Μάριος μὲν ἐν προοιμίοις τῶν Σύλλου ἐκράτει δυνάμεων· τῆς δὲ τύχης ἑκάτερον διαφθεῖραι σπουδαζούσης, νῦν μὲν ὁ Σύλλας, νῦν δὲ ὁ Μάριος ἐκράτει· πέρας δὲ ἑκατέροις ὄλεθρος. Μάριος μὲν γὰρ ἐλαττωθεὶς εἰς τεμάχη λεπτὰ πρὸς τοῦ Σύλλου κατετμήθη, Σύλλας δὲ μετὰ τὴν νίκην σκώληκας ἀναβλύσας καὶ ἕτερον οὐδὲν παρὰ τὴν Εὐτυχοῦς προσηγορίαν ἐκ τῆς νίκης λαβὼν ἀπεφθάρη. περιόντι δὲ ἔτι τῷ Σύλλᾳ προσπελάσας ὁ Πομπήϊος ἐζήλου τε αὐτὸν καὶ γαμβρὸς ἐγένετο, Ἀντιστίαν τὴν ἐγγόνην αὐτοῦ πρὸς γάμον ἑλών, καὶ ὅλος ἦν ἐκείνου. νοσῶν δὲ Καῖσαρ ἐξ ἀρχῆς πρὸς Πομπήϊον, Ἰουλίας ἤδη τῆς αὐτοῦ θυγατρὸς τελευτησάσης, ἣν ἔτυχε πρὸς γάμον, Πομπηΐῳ δούς, τὴν ἐναντίαν ἠσπάσατο καὶ Μάριον ἐτίμα καὶ τοῖς αὐτοῦ τρόποις ἀπήγετο. συγχέονται οὖν ἄμφω κατ' ἀλλήλων ὡσεὶ

v. 1 λόγος β' | περὶ καίσαρος eqs. *O* 14 τε μάχην *O*, corr. *F* 19 τὰ ἑαυτῶν *O*, corr. *F* 21 νοσῶν *O*, νεύων coni. *B*

κληρονόμοι τῶν τυράννων, ἔθνους μὲν παντός, ὅσον ἦν πρὸς ἀνίσχοντα ἥλιον, Πομπηΐῳ, βαρβάρων δὲ πάντων, ὅσοι πρὸς δύνοντα ἥλιον καὶ τὴν ἄρκτον ἐνέμοντο, τῷ Καίσαρι ἅμα τῷ στρατιωτικῷ συναιρομένων· καὶ δῆλα τὰ λοιπά.

2. Κρατεῖ δὲ τῶν ὅλων ὁ Καῖσαρ καὶ ἐπὶ τριακοσίοις αἰχμαλώτοις θριαμβεύων βασιλεῦσιν ἀναβὰς εἰς τὴν Ῥώμην οὐ βασιλέως — τί δ' ἂν εἴη μεῖζον; — ἤγουν μονάρχου τινὸς ὑπέμεινεν ὑπελθεῖν προσηγορίαν· ἄλλην δέ τινα καὶ τῇ τύχῃ ἠγνοημένην ἐξήτει τιμήν. ὡς γὰρ ἐκ τοῦ Καπιτωλίου μετὰ τὸν θρίαμβον ἐπὶ τὴν βουλὴν ἐφέρετο, ἐκδραμόντος τινὸς τῶν ἐν τέλει τῆς στρατιᾶς καὶ στέφανον ἀγνοοῦντι περιθεμένου, λαβὼν αὐτὸς ἔρριψεν ἀγανακτῶν, ὡς ὕβριν ὑπομένειν ὑπολαβών, εἰ βασιλεὺς χρηματίσοι ὁ τοσούτους βασιλέας εἰς δουλείαν ὑπαγαγὼν καὶ αὐτὴν δὲ τὴν τύχην ἑλών. οὕτως ἐμφορηθεὶς ταῖς εὐπραγίαις ἠξίωσε μόλις θεός τε ἅμα καὶ ἀρχιερεὺς καὶ ὕπατος καὶ μόναρχος ἐς ἀεὶ καὶ Ῥωμαίων μὲν πρῶτος, ἐπίτροπος δὲ τῶν ἁπανταχοῦ βασιλέων, καὶ ἵππαρχος καὶ πατὴρ πατρίδος καὶ στρατηγὸς καὶ φύλαξ πόλεως καὶ πρῶτος δημάρχων χρηματίσαι, στολὴν ταῦτα πάντα σημαίνουσαν ὑποδύς· καὶ ὄνομα μὲν αὐτῇ τριουμφάλια· οὐδὲ γὰρ ἦν εὔπορον οὕτω πολυσήμαντον ἐξευρεῖν τῇ στολῇ προσηγορίαν. χιτὼν δὲ ἦν, ἔνδον μὲν ἐκ πορφύρας, ἔξωθεν δὲ χρυσὸς ὅλος, ὥσπερ ἐλασθέντος διεστηκὼς τοῦ χρυσοῦ· καὶ λῶρος ἄνωθεν· οὕτω δὲ τὴν χρυσήλατον ἐπωμίδα Ῥωμαίοις ἀρέσκει καλεῖν. ταύτην τὴν

v. 4 συναιρουμένων *O*, corr. *B* 12 ἐκδραμοῦντος *O*, corr. O_2 26 ἄνωθεν *O*, ἔξωθεν corr. *F* | χρυσὸς *O*, χρυσοῦς coni. *B* \ ὅλως *O*, ὅλος correxerunt O_2 *B*

στολὴν ἔθος ἐκράτησεν ἐξ ἐκείνου τοὺς Ῥωμαίων αὐτοκράτορας ἀμπέχεσθαι, ὅταν ἐπὶ βασιλεῦσιν αἰχμαλώτοις θριαμβεύσωσι· καὶ τοῦτο δῆλον ἐν ἡμῖν ἀπεδείχθη, ὅτε Γελίμερα τὸν Βανδήλων καὶ Λιβύης βασιλέα πανεθνεὶ θεὸς αἰχμάλωτον τῇ καθ' ἡμᾶς παρεστήσατο βασιλείᾳ. οὐδὲ γὰρ ἦν, ὁμοσχήμονα τὸν νικητὴν πορφύραν περικειμένῳ γίνεσθαι τῷ κρατηθέντι. τοιούτοις τὸν Καίσαρα τῆς τύχης ἐπὶ τριετῆ χρόνον διαπαιζούσης φρυάγμασιν ἡ φύσις ἔπεισεν ἄνθρωπον εἶναι.

3. Ὀκταβιανὸς δὲ μετ' αὐτόν, ἀδελφιδοῦς ἐξ Ἀτίας τοὔνομα τῆς ἀδελφῆς αὐτῷ γενόμενος καὶ θετὸς παῖς, διαδεξάμενος τὴν αὐτοκράτορα τιμήν, θεὸς μὲν δῆθεν εὐσεβῶς μετριάζων ὀνομάζεσθαι παρῃτεῖτο, θεῖος δὲ μᾶλλον· καὶ τοῦτο πᾶσι τοῖς μετ' αὐτὸν τὸ ἀξίωμα περιετέθη. τὸ μὲν γὰρ τῶν φύσει πεφυκότων ἐστί, τὸ δὲ τῶν θέσει, τιμῆς ἢ μᾶλλον βλασφήμου κολακείας χάριν τοῖς βασιλεῦσι περιτιθέμενον. τοῖς δὲ ἐπισήμοις χρήσασθαι, οἷς Καῖσαρ ὁ μέγας, τέως οὐκ ἔσχε· πρῶτον μέν, ὅτι κοινωνοὺς εἶχε τῆς ἀρχῆς Ἀντώνιον καὶ Λέπιδον. νέος δὲ ὢν κομιδῇ καὶ τὴν λεγομένην παρὰ Ῥωμαίοις βοῦλλαν οἱονεὶ ψῆφον ⟨φορῶν⟩ τῆς Καίσαρος ἠξιοῦτο προσηγορίας. ὅθεν ἔτι καὶ νῦν τοῖς εἰς βασιλείαν προαγομένοις οὐ πρότερον τὰ ταύτης ἐπιτίθεται σύμβολα, πρὶν στρεπτὸν τῷ τραχήλῳ περιθέντες αὐτῷ οἱ ἐν τέλει τῆς στρατιᾶς ἄξιον εἶναι τῆς βασιλείας ἀποφήνωσι, Καίσαρα δεικνύντες αὐτὸν καθάπερ τὸν νέον Καίσαρα καὶ τῆς τοῦ πρώτου Καίσαρος ἄξιον τιμῆς τε καὶ προσηγορίας. ὥσπερ γὰρ Πέρ-

v. 3 θριαμβεύσωσι *O*, θριαμβεύωσι coni. *B*   4 γελιμερ *O*, corr. *F* / λυβυης *O*, corr. *F*   21 ψῆφον τῆς O, φέρων add. F, φορῶν *B*   23 ταῦτα τις *O*, τὰ ταύτης corr. B

σαις ἐστὶ νόμιμον, τὸν ἐκ βασιλέως τεχθέντα προάγειν ἑαυτοῖς εἰς βασιλείαν, οὕτω Ῥωμαίοις ἦν τὸ πάλαι μὴ τῷ τυχόντι, ἀλλὰ μόνοις τοῖς ἐκ τῆς Καίσαρος σειρᾶς κατιοῦσιν ἐγχειρίζειν τὸ κράτος. μέσος οὖν ἦν ὁ νέος Καῖσαρ, μήτε τῆς ὅλης ἐπειλημμένος τοῦ κράτους τιμῆς διὰ τοὺς κοινωνοὺς τῆς ἀρχῆς, μήτε μὴν ἀμοιρῶν, τὸ δὲ πλέον ἔχων παρ' ἐκείνους διὰ τὸ Καίσαρος ἐπώνυμον, ὃ περιὼν ἔτι ⟨ὁ⟩ θεῖος αὐτῷ περιέθηκε, διάδοχον ἑαυτοῦ καταλεῖψαι ψηφισάμενος. ὡς δὲ Λέπιδος μὲν ἐτελεύτα, Ἀντώνιος δὲ πρὸς Κλεοπάτραν ἔρρεψε, Φουλβίαν τὴν ἀδελφὴν τοῦ νέου Καίσαρος συνοικοῦσαν αὐτῷ τὸ πρὶν ἀποπτύσας, Αἴγυπτόν τε εἷλε μετ' Ἀντωνίου καὶ τοὺς ἐμφυλίους ἔπαυσε θορύβους τῆς Ῥώμης, ὀγκωθεὶς καὶ αὐτὸς θεός τε ἐχρημάτισεν ὁ ἄρτι μετριάζων καὶ ναοὺς ὡσιωμένους πρὸς τιμῆς αὐτοῦ ἀπεδέξατο καὶ ἀρχιερέα ὡσεὶ θεὸς ἐπεμβόλιμος προεχειρίσατο, πρῶτον αὐτὸν τῶν ἱερέων τῶν τότε νομισθέντων θεῶν ἀποδείξας, ἐπισήμοις τε πᾶσιν ἐχρήσατο, οἷς ὁ πατήρ, καὶ στρατείαις καὶ τάξεσι καὶ δορυφόροις, ὅσοις ὁ Ῥωμύλος τε καὶ πάντες οἱ ἀπ' αὐτοῦ μέχρι τούτων ἐχρήσαντο, μόνον τὸν ἵππαρχον εἰς ἔπαρχον μεταβαλών, ὀχήματι τιμήσας ὑπερηφάνῳ, ἐξ ἀργύρου πεποιημένῳ, καὶ τάξιν πολιτικὴν ἀπονείμας αὐτῷ πειθαρχεῖν, Αὐγουσταλίους ἐξ αὐτοῦ καλέσας αὐτούς· περὶ ὧν ἐν τῷ περὶ τῆς τάξεως τῶν ὑπάρχων

v. 25 vide infra III 9

v. 1 post *νόμιμον* addit *μόνον* Gu. Kroll 2 *ῥωμαίοις οἷς τῶ* (*τὸ* corr. *F*) *O*, pro *οἷς* scripsit *ἦν F*, *οἷς* del. *B* 6 *ἄμοιρον O*, *ἄμοιρος* coni. *F*, corr. *B* 7 ἐκείνοις O, corr. F 8 θειως *O*, *ὁ θεῖος* corr. *O₂* 9 καταλῆψαι O, corr. O₂ 16 αὐτῶ O, *αὐτοῦ* corr. *F* 17 αὐτον τον των O, corr. O₂ 24 ἀγουστα*λίους O*, corr. *F*

μικρὸν ὕστερον ἐροῦμεν. ἠπίως δὲ ὅμως ἐχρήσατο τοῖς ὑπηκόοις, ὥστε τοὺς Ῥωμαίους εἰπεῖν ἐπ' αὐτῷ τῇ πατρίῳ φωνῇ· utinam nec natus nec mortuus fuisset· ἀπηύχοντο γὰρ αὐτοῦ τὴν γένεσιν, ὅτι μόνος ἐστήριξε τὴν τῶν Καισάρων ἡγεμονίαν, καὶ ὁμοίως τὴν τελευτὴν διὰ τὸ ἤπιον ἅμα καὶ τὸ τῶν ἐμφυλίων στάσεων ἀναιρετικόν· οὐδὲ γὰρ μετ' αὐτὸν ἐμφύλιος ἀνήφθη πόλεμος.

4. Ἐχρῆτο δὲ στολῇ ἐπ' εἰρήνης οἷα ποντίφεξ — ἀντὶ τοῦ ἀρχιερεὺς γεφυραῖος — πορφυρᾷ ποδήρει ἱερατικῇ χρυσῷ λελογχωμένῃ, ἀμφιβλήματι δὲ ὁμοίως πορφυρῷ, εἰς χρυσοῦς αὔλακας τελευτῶντι, τήν τε κεφαλὴν ἔσκεπε δι' ἃς ἐν τῇ γραφείσῃ μοι περὶ μηνῶν πραγματείᾳ ἀποδέδωκα αἰτίας· ἐπὶ δὲ τῶν πολέμων παλουδαμέντοις — αἱ δέ εἰσι δίπλακες ἀπὸ κόκκου, πρωτείας μετάξης κλωστῆς, χρυσῇ περόνῃ λιθοκολλήτῳ ἀναρπαζόμεναι τοῖς ὤμοις, ⟨ἣν⟩ ἡμεῖς μὲν φίβουλαν ὡς Ἰταλοὶ καλοῦμεν, κορνοκόπιον δὲ ἰδίᾳ πως ἐν τοῖς βασιλείοις ἔτι καὶ νῦν λέγουσιν· ἐν δὲ ταῖς εὐωχίαις λιμβοῖς — πορφυροῖ δέ εἰσι τρίβωνες ποδήρεις Μαιανδρίαις γραμμαῖς, ἐπὶ ⟨δὲ⟩ τῶν ὤμων χρυσοῖς τουβαλαμέντοις οἱονεὶ σωληνωτοῖς ὑφάσμασι διαλάμποντες — καὶ παραγαύδαις αὐριγάμμοις, ἀντὶ τοῦ χιτῶσι χρυσοῖς γαμματισκίοις ἀναλελογχωμένοις, ἀπὸ τῆς περὶ τοὺς πόδας ὤας καὶ τελευτῆς τοῦ ἐσθήματος ἐξ ἑκατέρων τῶν πλαγίων εἰς γάμμα στοιχεῖον διαζωγραφοῦσι χρυσῷ

v. 12 de mens. p. 11, 4

v. 3 UTINAMNECATOUSECMOPTωUSFUISSET cod. 9 πορφύρας *O*, corr. *F* 13 ἀποδώδεκα *O*, corr. O_2 16 ἀναπαζόμεναι *O*, ἀνασπαζόμεναι scripserunt O_2 *F*, ἀναρπαζόμεναι coni. *B* | ἣν addidi 19 μαιανδρίοις *O*, corr. *F* 20 δὲ add. *F* | τουβουλαμέντοις proponit F. Skutsch 22 παραγώδαις *O*, correxi *ad p. 21, 23* 23 γαμματισκοις *O*, corr. *B*

τὸν χιτῶνα· ἐν δὲ τῇ βουλῇ χλαμύσι, πορφυραῖς μὲν — πῶς γὰρ οὐχί; —, πρὸς δὲ τὸ πέρας τῆς ποδήρους ὤας γραμμαῖς τετραγώνοις διόλου χρυσῷ κοσμουμέναις — σηγμέντα αὐτὰς ⟨οἱ⟩ τῆς αὐλῆς καλοῦσιν ἀντὶ τοῦ χρυσόσημα· τὸ δὲ πλῆθος ἐπὶ τῶν ἰδιωτικῶν χλαμύδων σημέντα — βραττεολάταις καὶ γεμμάταις καὶ λαγκιολάταις ἀντὶ τοῦ χρυσοπετάλοις διαλίθοις καὶ λογχωταῖς, καὶ τοῖς λοιποῖς τῆς βασιλείας ἐπισήμοις, περὶ ὧν κατὰ λεπτὸν ἀφηγεῖσθαι περιττὸν ὑπολαμβάνων πάρειμι, τοῦ λόγου με τὸ λοιπὸν ἐπὶ τὴν ἀφήγησιν τῆς ποτὲ πρώτης τῶν ἀρχῶν κατὰ τάξιν ἄγοντος.

Περὶ τῆς ἐπαρχότητος τῶν πραιτωρίων.

5. Τὸ μὲν περίβλεπτον τῆς ἀρχῆς καὶ μόνῳ τῷ σκήπτρῳ παραχωροῦν καὶ ἐξ αὐτῆς τῆς ἀμυδρᾶς σκιᾶς, ἣν ἔτι καὶ μόνην δοκεῖ διασώζειν, ἱκανοῖς ἄν τις καταλάβοι γνωρίσμασι· πέφυκε γὰρ τὰ τῶν πραγμάτων ὑπέροπτα καὶ ἐξ αὐτῆς καταλαμβάνεσθαι τῆς ἐλαττώσεως. δεινὸς δὲ ὁ χρόνος ἐκφαγεῖν τε καὶ ὑπεργάσασθαι τὰ γένεσιν ἅμα καὶ φθορὰν εἰληχότα. ἀλλ' ἡ βασιλέως ἀρετὴ τοσαύτη τίς ἐστιν, ὥστε παλιγγενεσίαν δι' αὐτοῦ τὰ πρὶν ἐξολωλότα καραδοκεῖν.

6. Οὕτως οὖν τῶν ἀρχῶν, ὡς ἔφθην εἰπών, ἄχρι τῆς Καίσαρος τοῦ πρώτου ἐπικρατείας προελθουσῶν, αὐτὸς μετὰ τῆς τύχης ἐπιστὰς τοῖς πράγμασι ξύμπαν ἐξηλλοίωσε τὸ πολίτευμα, ὑπάτοις μὲν μηδὲν παρὰ τὴν προσηγορίαν ἀπολιπών, εἰς μήνυμα τοῦ χρόνου δῆθεν, ὑφ' ἑαυτῷ δὲ τάξας τὸν σύμπαντα στρατὸν δέδωκε

v. 4 αὐτάρ τῆς *O*, αὐτὰς οἱ τῆς corr. *F* 6, 7 βραττεολάτοις et γεμμάτοις et λακιολάτοις et λογχωτοῖς *O*, corr. *F* 20 ἀρετὴν *O*, corr. *F* 21 ἐξωλοτα O, corr. O

τοῖς μετ' αὐτὸν ἢ δι' ἑαυτῶν — πλὴν εἰ μή γε τὸ τρυφᾶν προτιμῷεν — ἢ διὰ στρατηγῶν ὧν ἂν θέλωσιν ἢ δι' ὑποστρατήγων, τῶν παρὰ Ῥωμαίοις λεγομένων ληγάτων, τοὺς ἐνισταμένους διεργάζεσθαι πολέμους, μόνῳ τῷ ἱππάρχῳ, ὃς ἦν αὐτῷ Λέπιδος μοναρχοῦντι, καταλιπὼν μετὰ μείζονος αὐθεντίας τὴν δύναμιν· ὃν μετ' αὐτὸν Ὀκταβιανὸς Καῖσαρ, ὡς εἴρηται, ὕπαρχον ἑαυτῷ οὐ τῆς αὐλῆς μόνης, ἀλλὰ μὴν καὶ στρατιᾶς ἁπάσης καὶ πολιτικῆς τάξεως, ἣν οὐκ εἶχε πρότερον, ἀναδείξας, ὃς βραχὺ παρατραπείσης τῆς λέξεως ἐξ ἀφυλάκτου συνηθείας ἀντὶ ἱππάρχου ὕπαρχος προσηγορεύθη. καὶ ἐπὶ μὲν τῆς Ῥώμης — ἐφ' ἧς καὶ μόνης τὴν αὐλὴν παλάτιον καλεῖσθαι νόμος — ὕπαρχος τοῦ Καίσαρος ⟨καλεῖσθαι⟩ ἐνόμιζεν οἱονεὶ δεύτερος μετ' ἐκεῖνον, ἐπὶ δὲ τῶν κάστρων — οὕτω δὲ τὰς ἐν πολέμῳ παρεμβολὰς Ῥωμαίοις ἔθος καλεῖν — πραίφεκτος πραιτωρίων, οἱονεὶ προεστηκὼς τοῦ πραιτωρίου· τὸ γὰρ στρατηγικὸν ἐπὶ ξένης κατάλυμα πραιτώριον ἐκείνοις ἔδοξεν ὀνομάζειν, κἂν εἰ τυχὸν αὐτὸν τὸν Καίσαρα αὐλίζεσθαι ἐπ' ἐκείνου συμβαίνῃ. ηὗρον δὲ καὶ στερεὰν αἰτίαν, ἧς ἕνεκα τῇ τοῦ ἐπάρχου προσηγορίᾳ καὶ τὸ τῶν πραιτωρίων προστίθεται γνώρισμα, ὡς εἶναι τὴν ἀρχὴν τῶν πρός τι καὶ μὴ δοκεῖν ἀσήμαντον ἔχειν τὴν ἐξοχήν, συνώνυμον δὲ τῷ πολιάρχῳ, ὃν καὶ αὐτὸν ὕπαρχον ὀνομασθῆναι προδεδήλωται, πραίτορα οὐρβα-

v. 25 *προδεδήλωται*: in iis quae I 48 interciderunt; vide p. 51, 3

v. 1 *τοὺς μετ' αὐτῶν* *O*, corr. *F* 2 *προτιμῶμεν* *O*, *προτιμῶσιν* coni. *F*; corr. *B* 6 *καταλε|πτον* *O*, corr. *F* 10 *ὡς* *O*, *ὃς* scripsi 14 *ἐνόμιζεν* *O*, *ἐχρημάτιζεν* coni. *B*, ego *καλεῖσθαι* addidi 16 *πραιτωρίων* *O*, *πραιτωρίῳ* coni. *F*, sed vide v. 22 20 *συμβαίνει* *O*, corr. O_2

νὸν τὸ πρὶν προσαγορευόμενον. Τράγκυλλος τοίνυν τοὺς τῶν Καισάρων βίους ἐν γράμμασιν ἀποτίνων Σεπτικίῳ, ὃς ἦν ὕπαρχος τῶν πραιτωριανῶν σπειρῶν ἐπὶ αὐτοῦ, πραίφεκτον αὐτὸν τῶν πραιτωριανῶν ταγμάτων καὶ φαλάγγων ἡγεμόνα τυγχάνειν ἐδήλωσεν· ὥστε οὐ μόνον ἄν τις λάβοι τὸν ὕπαρχον τῆς αὐλῆς, ἣν καὶ πραιτώριον πολλαχοῦ καλουμένην κατὰ τὸν ἑνικὸν ἀριθμόν ἐδηλώσαμεν, ἀλλὰ μὴν καὶ κατὰ τὸν πληθυντικὸν καλῶς ὠνομασμένον· οὐ μόνον γὰρ λέγεται πραίφεκτος πραιτωρίου ⟨ἀλλὰ καὶ πραίφεκτος πραιτωρίων⟩ οἱονεὶ ἡγεμὼν τῶν πραιτωριανῶν, ὑπακουομένου ταγμάτων ἢ σπειρῶν ἢ στρατευμάτων ἢ δυνάμεων.

7. Αἰτίας μὲν οὖν ἄν τις τοιαύτας οὐκ ἔξω λόγου ἐπὶ τῆς προσηγορίας τῆς ἀρχῆς ἀποδοίη, ἥτις καθάπερ ὠκεανός τις τῶν πραγμάτων τῆς πολιτείας ἐστίν,

ἐξ ἧσπερ πάντες ποταμοὶ καὶ πᾶσα θάλασσα·

σπινθῆρες γάρ τινες ὥσπερ ὑετοῦ πυρὸς αἱ λοιπαὶ τῆς πολιτείας ἀρχαὶ ἐκείνης τῆς ἀληθῶς ἀρχῆς τῶν ἀρχῶν δείκνυνται οὖσαι. οὐδὲ γὰρ εἶναι ⟨ἂν⟩ ἄνευ ἐκείνης δύναιντό ποτε καθὸ μηδὲ αὐταὶ μηδὲ μὴν αἱ

v. 1 Suet. rell. p. 286 Roth 17 Iliad. XXI 196

v. 1 τράκυλλος *O*, mutavit *B* 2 ἀποτίνων *O*, ἀποτείνων coni. *F*, ὑποτείνων coni. *B*, προτείνων Gu. Kroll 3 σεπτιμίω *O*, corr. Roth l. s.; vide Vit. Hadr. 11, 3 4 αὐτων *O*, αὐτὸν corr. O_2 7 καλουμένην κατὰ τὸν ἑνικὸν ἀριθμὸν ἐδηλώσαμεν *O*, ἐδηλώσαμεν ante κατὰ transposuit *F* 10 ἀλλὰ καὶ πραίφεκτος πραιτωρίων addidi 11 ἡγεμὼν *O*, ἡγεμόνα coni. *F*, qui in hoc enuntiato non recte distinxit 17 ἧσπερ *O*, οὗπερ coni. *F* 18 ἀετοῦ *O*, ταυτοῦ coni. *F*, Αἰτναίου *B*, ὀχετοὶ Gu. Kroll, ἀτμοῦ F. Skutsch, ἀεναοῦ Th. Preger, ὑετοῦ ego 20 ἂν add. *B* 21 καθ' ὃν δὲ *O*, corr. *B*

τελοῦσαι ὑπ' αὐτὰς ὡσανεὶ τάξεις τινὲς συνεστάναι δύναιντο, μὴ τὴν δαπάνην αὐταῖς τε καὶ τοῖς αὐτῶν ἡγουμένοις χορηγούσης τῆς ἐπαρχότητος. ὃν γὰρ τρόπον τις σκεῦος μέγιστον ἐξ ἀργυρίου πεποιημένον οὐκ ἐξ ἑαυτοῦ ἀλλ' ἐκ προγόνων ἔχει κεκτημένος, εἶτα πρὸς πενίαν ὑποσυρόμενος καταλύει μὲν τὸ σκεῦος ὀλίγα φροντίσας ἰσχύος τε καὶ κάλλους, πολλὰ δὲ καὶ ἀσθενῆ ἐξ αὐτοῦ σκευύφια κατασκευάζων πολὺν ἄργυρον ἐξ εὐτελείας ἢ μέγιστον ἐξ ἑνὸς καὶ ἀρχαῖον ἔχειν φαντάζεται· οὕτως τῆς μεγίστης ἀρχῆς καταλυομένης πολλαί τινες καὶ τάχα περιτταὶ ἀνέφυσαν ἀρχαί, μᾶλλον τῆς τύχης ἀπαρεσθείσης τῷ ποιητῇ εἰπόντι·

οὐκ ἀγαθὸν πολυκοιρανίη, εἷς κοίρανος ἔστω.

οἱ μὲν γὰρ λεγόμενοι στρατηλάται τὴν τῶν κομίτων ἔχουσιν ἐκ τῆς ἀρχαιότητος καὶ μόνην τιμήν· ταύτῃ καὶ κομιτιανοὺς τοὺς δευτεροστρατηλατιανοὺς ἡ παλαιότης οἶδε. κόμιτας δὲ τοὺς φίλους καὶ συνεκδήμους Ἰταλοὶ λέγουσι, καὶ κομιτᾶτον ἁπλῶς τὴν βασιλέως συνοδίαν. ἡ δὲ τοῦ λεγομένου μαγίστρου φροντὶς ἀρχὴ μὲν οὐκ ἔστιν οὕτως ἐγκεκριμένη, μεγίστη δὲ ὅμως, καὶ ἐγγὺς τῆς ὑπάρχων ἀνίπταται τιμῆς τε καὶ δυνάμεως· περὶ ἧς πρὸς τῷ τέλει τῆσδε τῆς ἱστορίας ἐρῶ· δεῖ γὰρ αὐτὴν νεωτέραν οὖσαν μὴ ταῖς πρεσβυτέραις τῶν ἀρ-

v. 14 Iliad. II 204 23 vide infra II 23 seqq.

2 τοῖς συναυτῶν O, τοῖς σὺν αὐτῶν coni. O_2, σὺν del. F et mutavit in γοῦν ep. p. 24 4 πεποιημένου O, corr. O_2 11 καταδυομένης O, corr. B | ἀνέφυσαν O, ἀνεφύησαν coniecerunt O_2 B 14 ουκαθὸν πολλοὶ κυραννοι O, corr. O_2 16 μόνην O, μόνης coni. F ep. 25 21 ἐγκεκρυμμένη O, corr. O_2; ἐκκεκριμένη coni. B

χῶν συναριθμεῖν, δοῦναι δὲ αὐτῇ χῶρον, ὃν ὁ χρόνος αὐτῇ παρεχώρησεν.

8. Ἐξῄρηται δὲ ὅμως καὶ πάσας ἀναβέβηκε τὰς ἀρχὰς ἡ ὕπατος τιμή, καὶ τῇ μὲν δυνάμει τῆς ἐπαρχότητος μείων, τῇ δὲ τιμῇ μείζων· ἡ μὲν γὰρ τὴν ὅλην διέπει πολιτείαν, οἴκοθεν μὲν οὐδὲν παρέχουσα, τὸ δὲ δημόσιον διοικοῦσα· ἡ δὲ πλοῦτόν τε βαθὺν οἴκοθεν νιφάδων δίκην ἐξαυλακίζει τοῖς πολίταις καὶ τῷ χρόνῳ τὴν προσηγορίαν χαρίζεται καὶ πλάνης ἀπαλλάττει τὰ συναλλάγματα, πολέμους μὲν τὸ λοιπὸν οὐκ ἀναδεχομένη, μήτηρ δὲ ὥσπερ τῆς Ῥωμαίων ἐλευθερίας τυγχάνουσα. ἐναντίως γὰρ ἔχει πρὸς τυραννίδα καὶ κρατούσης ἐκείνης οὐχ ὑφίσταται· τοιγαροῦν ἅμα Βροῦτος ὁ τῆς σωφροσύνης ἔκδικος καὶ τῆς ἐλευθερίας ὑπέρμαχος τὴν ὕπατον ἐξέλαμψε τιμήν, ἅμα Ταρκύνιος ὁ τύραννος ἀπωλώλει. ὁ δὲ ἡμέτερος πατήρ τε ἅμα καὶ βασιλεὺς ἡμερώτατος ταῖς μὲν ἐπανορθώσεσι τῶν πραγμάτων καὶ δωρεαῖς τῶν ὑπηκόων ὕπατός ἐστιν, ἐφ' ὅσον ἐστί· τῇ δὲ στολῇ γίνεται, ὅταν κοσμεῖν τὴν τύχην ἐθελήσοι, βαθμὸν ἀνώτερον βασιλείας τὴν ὕπατον τιμὴν ὁριζόμενος.

9. Ὅτι δὲ κατὰ τὸ πρόσθεν εἰρημένον μόνῳ τῷ σκήπτρῳ ἀνέκαθεν ἡ ἀρχὴ παρεχώρησε, τὴν ἴσην ἐκείνῳ λαχοῦσα τιμήν, ἄντικρυς ἐκ τῆς βασιλείας ἔστι λαβεῖν. συναγομένης γὰρ τῆς βουλῆς — πάλαι μὲν ἐν τοῖς καλουμένοις σενάτοις οἱονεὶ γερουσίαις, καθ' ἡμᾶς ⟨δ'⟩

v. 22 vide supra II 5 in.

v. 1 συναριθμεῖν *O*, corr. O_2 8 ἀνεβεβήκεν *O*, corr. *F* 9 κάπλανης *O*, καὶ πλάνης corr. O_2 25 γὰρ τῆς *O*, γὰρ ἐκ τῆς coni. *B* 26 σενάτοις *O*, σενάτῳ coni. *F* cp. p. 25 ⟨ δ' add. *F*

ἐπὶ τοῦ παλατίου — οἱ τῶν ἐκεῖ πρωτεύοντες στρατευμάτων προϊόντες πορρωτέρω τῶν οἰκείων ἑδρῶν ἀποδέχονται γονυπετεῖς τὴν ἐπαρχότητα· ἡ δὲ φιλήματος ἀξιοῖ προσιόντας αὐτοὺς εἰς θεραπείαν τοῦ στρατοῦ· καὶ αὐτὸς δὲ ὁ Καῖσαρ, οἱονεὶ τῶν Ῥωμαίων βασιλεύς, τὴν βασιλείαν ἐκλείπων πρόσεισιν ἐκ ποδός δι' ἑαυτοῦ ἀποδεχόμενος τὸν ἄρχοντα· οὗ ἔνδον ἅμα αὐτῷ γενομένου, φυλακὴ πᾶσα μηδεμίαν μετ' αὐτὸν εἴσω γενέσθαι τῶν ἀρχῶν συγχωροῦσα, ἀλλ' οὐδὲ διαλυθέντος τοῦ συλλόγου πρὸ αὐτοῦ ἀναχωρεῖν τινα τῶν ἐκ τῆς βουλῆς ἐπιτρέπουσα. καὶ τοῦτο ἐγκρατῶς ἐφυλάχθη ἄχρι τῶν Θεοδοσίου τοῦ Νέου καιρῶν, ὅς, ἐπεὶ νέος ἦν καὶ δι' ἑαυτοῦ προϊὼν κατὰ τὸ συνειθισμένον τὴν τιμὴν προσφέρειν οὐκ ἴσχυσε τῇ ἀρχῇ, εἰκόνα στήσας ὥρισεν ἀντ' αὐτοῦ ἀποδέχεσθαι τὸν ὕπαρχον. καὶ τραπείσης τῆς ὀρθῆς ἐκφωνήσεως περσίκιον τὸ σκῆπτρον ὁ δῆμος καλεῖ, ὅτι πέρ ση κατὰ Ῥωμαίους τὸ δι' ἑαυτοῦ λέγεται. ταύτης δὲ τῆς τιμῆς καὶ ὁ τῆς πόλεως φύλαξ ἀπολαύει διὰ τοῦ μείζονος ἄρχοντος τὴν ὁμωνυμίαν τῆς ἰσοτιμίας ἀξιωθείς. ξίφος δὲ ἐζώννυτο ἀνέκαθεν ὁ ὕπαρχος, οἷα καὶ τῶν ὅπλων ἔχων τὴν δύναμιν· καὶ τοῦτο δυνατὸν αὐταῖς ὄψεσιν ἐπὶ τοῦ παρόντος εὑρεῖν, εἴ γε τις φιλαρχαῖος ὢν ἐπὶ τὴν Καλχηδόνα περαιωθεὶς τὴν Φιλίππου τοῦ ὑπάρχου εἰκόνα καταμάθοι. σῖκαν δὲ τὸ ὑποζώνιον ξίφος Ῥωμαῖοι καλοῦσιν, ἐξ οὗ σικαρίους τοὺς κρεουργούς,

v. 6, 7 *βασιλεὺς δι' ἑαυτοῦ ἀποδεχόμενος τῆς βασιλείας ἐκλείπων πρόσεισιν ἐκ ποδὸς δι' ἑαυτοῦ ἀποδεχόμενος τὸν ἄρχοντα* *O*; quae bis scripta sunt, priore loco delevit et *τὴν βασιλείαν* scripsit *F* 7 *αὐτοῦ O*, *αὐτῷ* corr. *F* 10 *αὐτῆς O*, *αὐτοῦ* corr. *F* 20 *τῇ ὁμωνυμίᾳ O*, corr. *B*

καὶ σικᾶτα τὴν ἐκ σαρκῶν εἰς λεπτὰ κατακοπεῖσαν ἐδωδήν.

10. Ἀλλ' 'ἀρχὴν ὅσσα λέλογχεν ἔχει τέλος', τὸ ποιητικὸν εἰπεῖν. Κωνσταντίνου γὰρ μετὰ τῆς Τύχης τὴν Ῥώμην ἀπολιπόντος καὶ τῶν δυνάμεων, ὅσαι τὸν Ἴστρον ἐφρούρουν, ἐπὶ τὴν κάτω Ἀσίαν ψήφῳ τοῦ βασιλέως διασπαρεισῶν, Σκυθίαν μὲν καὶ Μυσίαν καὶ τοὺς ἐξ ἐκείνων φόρους ἐξημιώθη τὸ δημόσιον, τῶν ὑπὲρ Ἴστρον βαρβάρων μηδενὸς ἀνθισταμένου κατατρεχόντων τὴν Εὐρώπην· τῶν δὲ πρὸς τὴν ἕω παρὰ τὸ πάλαι δασμοῖς οὐ μετρίοις βαρυνθέντων, ἀνάγκη γέγονε τὸν ὕπαρχον μηκέτι μὲν τῆς αὐλῆς καὶ τῶν ἐν ὅπλοις ἄρχειν δυνάμεων — τῆς μὲν τῷ λεγομένῳ μαγίστρῳ παραδοθείσης, τῶν δὲ τοῖς ἄρτι κατασταθεῖσι στρατηγοῖς ἐκτεθεισῶν —, τὴν δὲ ἀνατολὴν πρὸς τῇ κάτω Ἀσίᾳ καὶ ὅσα ταύτης διοικοῦντα τὸ λοιπὸν τῆς ἀνατολῆς χρηματίζειν ὕπαρχον. διεσύρη δὲ οὐδὲν ⟨ἧττον θανατῶσα καθ' ἑκάστην ἡ⟩ τῆς ἀρχῆς δυναστεία ἄχρι τῶν Ἀρκαδίου, τοῦ πατρὸς Θεοδοσίου τοῦ Νέου, καιρῶν· ἐφ' οὗ συμβέβηκε Ῥουφῖνον τὸν ἐπίκλην ἀκόρεστον, ὃς ἦν ὕπαρχος αὐτῷ, τυραννίδα μελετήσαντα τοῦ μὲν σκοποῦ ὑπὲρ λυσιτελείας τῶν κοινῶν ἐκπεσεῖν, εἰς βάραθρον δὲ τὴν ἀρχὴν καταρρῖψαι. αὐτίκα μὲν γὰρ ὁ βασιλεὺς τῆς ἐκ τῶν ὅπλων ἰσχύος ἀφαιρεῖται τὴν ἀρχήν, εἶτα τῆς τῶν λεγομένων φαβρικῶν οἱονεὶ ὁπλοποιϊῶν φροντίδος τῆς τε τοῦ δημοσίου δρόμου καὶ πάσης ἑτέρας, δι' ὧν τὸ λεγόμενον συνέστη

v. 1 σικατα O, σικευτα O in marg., utram formam auctor sibi finxerit ex ἰσικιᾶτα nescio 3 ὅσω O, ὅσα coni. F, ὅσσα B 15 ἐκταθεισῶν O, corr. F | τὴν κάτω O, corr. F 18 ἧττον ἡ suppl. F e III 40, quibus reliqua ex eodem loco petita addidi 24 πολλῶν O, ὅπλων e III 40 corr. F

μαγιστέριον. ὡς δὲ δύσεργον ἦν ἀποτρέφειν μὲν τὸν ὕπαρχον ἀνὰ τὰς ἐπαρχίας τοὺς δημοσίους ἵππους καὶ τοὺς αὐτοῖς ἐφεστῶτας, ἑτέρους δὲ κεκτῆσθαι τὴν ἐπ' αὐτοῖς ἐξουσίαν τε καὶ διοίκησιν, νόμος ἐτέθη θεσπίζων, ἀντέχεσθαι μὲν τὸν ὕπαρχον τῆς τοῦ δημοσίου δρόμου φροντίδος, τὸν πρῶτον μέντοι τῶν φρουμενταρίων — πρίγκιπα αὐτὸν σήμερον συμβαίνει ⟨καλεῖσθαι⟩ — παρεῖναι διὰ παντὸς τῷ δικαστηρίῳ τοῦ τῶν πραιτωρίων ὑπάρχου καὶ πολυπραγμονεῖν καὶ τὰς αἰτίας ἐξερευνᾶν, ὧν ἕνεκα πολλοὶ πορίζόμενοι παρὰ τῆς ἀρχῆς τὰ λεγόμενα συνθήματα τῷ δημοσίῳ κέχρηνται δρόμῳ — ταύτῃ καὶ κουριῶσος ὠνομάσθη ἀντὶ τοῦ περίεργος· καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ πάντες, ὅσοι κἂν ταῖς ἐπαρχίαις τοῖς δημοσίοις ἐφεστήκασιν ἵπποις — προϋπογράφοντος τοῖς ἐπὶ τῶν δρόμων συνθήμασι καὶ τοῦ λεγομένου μαγίστρου. ὅτι δὲ οὕτως, αὐτῆς δυνατὸν ἀκοῦσαι τῆς διατάξεως ἐν μὲν τῷ πάλαι Θεοδοσιανῷ κειμένης, ἐν δὲ τῷ νεαρῷ παροφθείσης.

11. Οὕτως οὖν ὥσπερ δι' ὑποβάθρων τινῶν καταφερομένης τῆς ἀρχῆς τοὺς μὲν στρατιωτικοὺς καταλόγους ἔταξεν ἡ βασιλεία ὑπὸ τοῖς τότε καλουμένοις κόμισιν καὶ στρατηγοῖς, τὰς δὲ ἐν τῷ παλατίῳ τάξεις ὑπὸ τῷ πρωτεύοντι τῶν δυνάμεων τῆς αὐλῆς, περὶ οὗ πρὸς τέλος, ὡς ὑπεσχόμην, ἐρῶ· ὃν καὶ αὐτὸν ἄρχοντα, οὐ μικρὸν καθάπερ τοὺς λεγομένους στρατηλάτας, αἱ

v. 17 cf. cod. Theod. VIII 5, 35   24 vide infra II 23

1 *ἀποστρέφειν O*, corr. *F* 2 *ἀναστὰς O*, *ἀνὰ τὰς* corr. O_2 6 *μεντο O*, *μὲν τῶν* in corr. *O*, *μέντοι τῶν* scripsit *F* 7 *καλεῖσθαι* e III 40 add. *F* 15 *προσεπιγράφοντος O*, e III 40 corr. *F* | *τῶν δρόμων O*, vide III 40 *τῶ δρόμω O* 18 *νοερῶι O*, corr. *F* | *παρα|οφθείσης O*, corr. O_2

τῆς ἐπαρχότητος ἐλαττώσεις ἀπετέλεσαν· τὰ γὰρ πολυτελῆ τῶν οἰκοδομημάτων καταλυόμενα πολλοῖς ἐπαρκεῖ πρὸς οἰκοδομήν· καὶ ἕως μὲν τοὺς βασιλέας ἐπεξιέναι δι' ἑαυτῶν τοῖς πολέμοις συνέβαινεν, εἶχέ τινα ἡ ἀρχή, εἰ μὴ τοσαύτην, πλὴν ὑπὲρ πάσας τὰς ἄλλας ἰσχύν τε καὶ δύναμιν· ἐξότε δὲ Θεοδόσιος πρῶτος, τῆς τῶν οἰκείων παιδῶν ῥαστώνης προνοούμενος, νόμῳ δὲ τὴν ἀνδρίαν ἐχαλίνωσε, κωλύσας δι' ἐκείνους τὴν βασιλέως Ῥωμαίων ἐπὶ πολέμους ὁρμήν, τὸ λοιπὸν τοῖς μὲν στρατηγοῖς τὰ τῶν πολέμων, τῷ δὲ μαγίστρῳ διοικεῖν τὰ τοῦ παλατίου γέγονε χώρα· ὡς μηδὲν ἕτερον ἔχειν τὴν ἐπαρχότητα ἢ μόνην τὴν ἐπὶ ταῖς δαπάναις φροντίδα, ἣν εἰκός ἐστι γίνεσθαι κατὰ τὸ ἀναγκαῖον περί τε τοὺς ἐξ αὐτῆς ἄρχοντας, ὡς ἔφην, καὶ περὶ ἐκείνους γε μήν, ⟨ὧν⟩ αὐτοὶ ἄρχειν ἐτάχθησαν.

12. Εἰ δέ τις καὶ τοὺς ἐκ τῶν προρρήσεων στοχασμούς, οὓς τινες καλοῦσι χρησμούς, ἐν ἀριθμῷ λόγων παραλαβεῖν ὑπομένοι, πέρας ἔλαβε ⟨τὰ⟩ Φοντηΐῳ τῷ Ῥωμαίῳ ῥηθέντα ποτέ· ἐκεῖνος γὰρ στίχους τινὰς δοθέντας δῆθεν Ῥωμύλῳ ποτὲ πατρίοις ῥήμασιν ἀναφέρει τοὺς ἀναφανδὸν προλέγοντας, τότε Ῥωμαίους τὴν Τύχην ἀπολείψειν, ὅταν αὐτοὶ τῆς πατρίου φωνῆς ἐπιλάθωνται· καὶ τὸν μὲν λεγόμενον χρησμὸν τοῖς περὶ

v. 14 vide supra II 7

v. 3 πρὸς οικοδομηματων *O*, e III 41 corr. *F* 13 ἣν *O*, ἃς coni. *F* 15 ὧν add. *F*, ut est III 41 | ἀρχὴν *O*, corr. *F* 16 τοῖς *O*, τοὺς corr. *F* 17 οὓς *O*, ἃς coni. *F* 18 τὰ add. *B*, ut est III 42 | τήϊω intra versum et χρησμὸς φωνη τηΐου περὶ τῆς ῥώμης in margine *O*, unde φωνήτηϊω scripsit O_2, Φωντηΐῳ e III 42 sumpsit *F*, Φοντηΐῳ ut p. 1, 13 correxi 19 δοθέντας τινὰς δοθέντας *O*, posterius δοθέντας deleverunt O_2F, prius *B*

μηνῶν γραφεῖσιν ἐντεθείκαμεν. πέρας δὲ μᾶλλον ἔσχε τὰ τοιαῦτα μαντεύματα· Κύρου γάρ τινος Αἰγυπτίου, ἐπὶ ποιητικῇ καὶ νῦν θαυμαζομένου, ἅμα τὴν πολίαρχον ἅμα τὴν τῶν πραιτωρίων ἐπαρχότητα διέποντος καὶ μηδὲν παρὰ τὴν ποίησιν ἐπισταμένου, εἶτα παραβῆναι θαρρήσαντος τὴν παλαιὰν συνήθειαν καὶ τὰς ψήφους Ἑλλάδι φωνῇ προενεγκόντος, σὺν τῇ Ῥωμαίων φωνῇ καὶ τὴν τύχην ἀπέβαλεν ἡ ἀρχή.

Περὶ τῶν ἐπισήμων τῆς ἐπαρχότητος τῶν πραιτωρίων.

13. Ὡς οὖν ἔφην, τοῦ μὲν ἱππάρχου πρὸς τοῦ Αὐγούστου ἐκ τῶν ἀρχῶν περιαιρεθέντος, τοῦ δὲ ὑπάρχου τῶν πραιτωρίων τὴν ἐκείνου δύναμιν διαδεξαμένου, εἰκὸς ὀγκωθῆναι πλέον τὴν ἀρχήν, τοῖς ὅπλοις προστεθείσης καὶ τῆς τῶν πολιτικῶν πραγμάτων διοικήσεως· οὐδὲν δὲ ἧττον ἴχνη τινὰ τῆς ἱππαρχίας παραπέμεινεν αὐτῇ, μικρᾶς τινος παραλλαγῆς ἐμπεσούσης. μανδύην μὲν γὰρ ὁ ἔπαρχος περιεβάλλετο Κῷον — ἐπ' ἐκείνης γὰρ τῆς νήσου καὶ μόνης ἡ βαθυτέρα βαφὴ τοῦ φοινικοῦ χρώματος τὸ πρὶν ἐπηνεῖτο κατασκευαζομένη· ⟨ἡ⟩ γὰρ ἠρέμα πως ἐπὶ τὸ φλόγινον καὶ οὐ σφόδρα βαθὺ ἀναπτομένη πρὸς Παρθυαίων ἐξηύρηται· ὅθεν καὶ παρθικὰ τὰ φλογοβαφῆ δέρματα συμβαίνει καλεῖσθαι. ὁ δὲ μανδύης χλαμύδος εἶδός ἐστι τὸ παρὰ

v. 1 de mens. p. 180, 10 11 vide supra II 6

v. 5 μηδένα παρὰ *O*, μηδὲν ἄλλο παρὰ coni. O_2, μηδὲν παρὰ e III 42 correxi | παραλαβῆναι *O*, corr. O_2 6 τοὺς *O*, τὰς corr. *F* 7 προσενεγκόντος *O*, e III 42 corr. *F* 8 ἀπελαβεν *O*, corr. O_2 18 κωαν *O*, corr. *B* 21 ἡ add. *F* 22 ἀναπτομένη *O*, ἀνασπωμένη coni. *F*, βαπτομένη *F* ep. p. 25, ἀναβαπτομένη Th. Preger

τῷ πλήθει μαντίον λεγόμενον, μὴ πλέον ἄχρι γονάτων ἐξ ὤμων ἠρτημένον, σηγμέντων οὐκ ἐπιβαλλομένων τῷ μανδύῃ, τῶν ⟨δ'⟩ ἐν ἡμῖν λεγομένων ταβλιῶν ἀντὶ τοῦ πτυχίων· ἐκείνων γὰρ ἐπιτιθεμένων οὐκ ἐξῆν ἑτέρῳ ἢ μόνῳ χρῆσθαι τῷ Καίσαρι. σηγμέντα δὲ τὰ χρυσόσημα Ῥωμαίοις ⟨ἔθος⟩ καλεῖν ὡς προέφαμεν. τοιαύτη μὲν ἡ χλαμύς· παραγαύδης δέ, χιτὼν καταπόρφυρος, καὶ ζωστὴρ ἐκ φοινικοῦ δέρματος, ἐφ' ἑαυτὸν μὲν ἀνακεκολλημένος, ἐξ ἄκρων δὲ τῶν πλευρῶν εἰς λεπτὴν καταρραφὴν ἐσπουδασμένος, καὶ σεληνίσκον μὲν ἔχων τινὰ ἐξ εὐωνύμων, χρυσῷ πεποιημένον, ἐκ δὲ τῆς ἑτέρας γλωσσίδα τινὰ ἤγουν διάβλημα, χρυσοτελὲς καὶ αὐτό, εἰς βότρυος σχῆμα πεποιημένον, δι' ἣν ἐν τῇ περὶ μηνῶν συγγραφῇ ἀποδεδώκαμεν αἰτίαν· ὅπερ διάβλημα ἀπὸ δεξιᾶς φερόμενον καὶ ἐπὶ τὸν σεληνίσκον βαλλόμενον διαζώννυσι τὸν περιτιθέμενον ἀσφαλῶς, περόνης καὶ αὐτῆς χρυσῆς ἐνδακνούσης τὸν ἱμάντα καὶ συναπτούσης τὸν βότρυν τῷ σεληνίσκῳ· φίβουλαν αὐτὴν πατρίως οἱ Ῥωμαῖοι καὶ βάλτεον τὸν ζωστῆρα λέγουσι, τὴν δὲ ὅλην κατασκευὴν τοῦ περιζώματος οἱ Γάλλοι καρταμέραν, ἣν τὸ πλῆθος καρτάλαμον ἐξ ἰδιωτείας ὀνομάζει. ὅτι δὲ οὐ Ῥωμαϊκὸν τουτὶ τὸ ῥημάτιον, μάρτυς ὁ Ῥωμαῖος Βάρρων ἐν βιβλίῳ πέμπτῳ περὶ Ῥωμαϊκῆς διαλέκτου, ἐν ᾧ διαρθροῦται, ποία μέν τις λέξις ἐστὶν Αἰολική, ποία δὲ Γαλλική· καὶ ὅτι ἑτέρα

v. 6 vide supra II 4   14 de mens. p. 17, 7   23 cf. Varro de l. l. V 116

v. 1 πλέον ἄγρι, quod correxit, *O*; πλέον ⟨ἢ⟩ ἄχρι volebat *F*   3 δ' add. *F* | ταυλιῶν *O*, quod mutavi   4 πτυχηον *O*, corr. O_2; πτυχῶν coni. *F*   6 ἔθος add. O_2 7 παραγώδης *O*, quod ad p. 21, 20 correxi   11 εὐωνύμου coni. *F*   13 ἐν τῇ περὶ in ras. *O*   20 ριζώματος *O*, corr. *F*   24 διαρθοῦται *O*, corr. *F*

μὲν Θούσκων, ἄλλη δὲ Ἐτρούσκων, ὧν συγχυθεισῶν ἡ νῦν κρατοῦσα τῶν Ῥωμαίων ἀπετελέσθη φωνή.

14. *Τοιαύτη μὲν τῆς ἀρχῆς ἡ παρ' αὐτοῖς λεγομένη παρατοῦρα, ἀντὶ τοῦ στολή, ὄχημα δὲ ὁποῖον ἴσμεν, καὶ θῆκαι· οὕτω δὲ τὸ λεγόμενον τῷ πλήθει καλαμάριον ἐκεῖνοι λέγουσιν, ὅπερ ὄγκου καὶ μόνου χάριν εἰς τύπον τοιοῦτον χρυσήλατον κατεσκεύαστο· ἑκατὸν ⟨γὰρ⟩ ἔχειν χρυσίου λίτρας ὑπείληπται. ἕτερον δὲ ἐξ ἀργυρίου βαθὺ πρὸς ὑποδοχὴν κοινοῦ μέλανος ἐξυπηρετεῖται τῷ δικαστηρίῳ — καλλίκλιον αὐτὸ οἱονεὶ κυαθίσκον ἀπὸ τοῦ κάλυκος καλεῖσθαι νόμος — καὶ κάνθαρος, ὡς λεκάνη τις, ἐξ ἀργύρου ἐπὶ τρίποδος ἀργυρέου καὶ κρατὴρ ὑπὲρ τῶν τὰς ἐμπροθέσμους δίκας ἐν τῷ δικαστηρίῳ λεγόντων κείμενος· περὶ οὗ μακρηγορεῖν ἀηδὲς εἶναι κρίνων ἐξ ἀνάγκης ἀναλαβεῖν τὴν ἀφήγησιν συνωθοῦμαι, ἐκεῖνο προλέγων, ὥς εἰσιν ἔτι καὶ νῦν πορθμίδες τρεῖς τῇ ἀρχῇ πρὸς τὰς ἀντιπόρθμους διαπεραιώσεις ἐκ τῆς βασιλίδος ἐπὶ τὰς γείτονας ἠπείρους. βάρκας αὐτὰς ἀντὶ τοῦ δρόμωνας πατρίως ἐκάλεσαν οἱ παλαιότεροι καὶ κέλωκας οἷον ταχινάς, ὅτι κέλερ κατ' αὐτοὺς ὁ ταχὺς λέγεται, καὶ σαρκιναρίας ἀντὶ τοῦ ὁλκάδας, ὅτι σάρκινα κατ' αὐτοὺς τὸ ἄχθος καλεῖται. τοιαῦτα μέν τινα καὶ ταῦτα· πρὸς δὲ τὸ προκείμενον ἐπανέλθωμεν.*

15. *Νόμος ἦν — καὶ γὰρ ἄρτι παρεφθάρη — τοὺς μὲν ἀπὸ ψήφων τῆς ἀρχῆς ἐπὶ τῶν ἐπαρχιῶν τὰς δίκας*

v. 25 cf. cod. Theod. XI tit. XXX

v. 1 *μὲν ἡ θούσκων O*, *ἡ* delevi 3 *αυτης O*, *αὐτοῖς* corr. O_2 8 *γὰρ* add. *B* 9 *ἐξυπηρέτηται* coni. *F* 10 *αὐτω O*, *αὐτὸ* corr. *F* 16 *ἐφηγησιν O*, corr. O_2 20 *κίλοκας O*, quod correxi 21 *αὐτὰς O*, *αὐτοὺς* corr. *F* 26 *ἀπὸ — ἀρχῆς* post *λέγοντας* (p. 71, 1) ponebat *F*

λέγοντας μετὰ ἔφεσιν αὖθις ἐπὶ τὴν ἀρχὴν ἐμπροθέσμως αὐτὰς κατὰ τὸν ἔκκλητον νόμον ἀναπέμπειν, τοὺς δὲ ἐπὶ τῶν ἀρχαιοτικῶν δικαστηρίων ἀπὸ ψήφων αὐτῶν ἐπὶ τὴν βασιλείαν· κἀκείνας μὲν καλεῖσθαι τεμποραλίας ἀντὶ τοῦ ἐμπροθέσμους, ταύτας δὲ σάκρας οἷον θείας διὰ τό, ὡς ἔφην, πρὸς τὴν βασιλέως ἀκρόασιν μετ' ἔκκλητον ἀναπέμπεσθαι. θαῦμα μέγιστον καὶ πανευδαίμονος πολιτείας τεκμήριον· βασιλεὺς Ῥωμαίων ὑπέμενε χαμαιζήλου δικαστοῦ λειτουργίαν ὑφίστασθαι καὶ κρίνειν πράγματα ἴσως καὶ σφόδρα γλίσχρης ὑποθέσεως ἀνεχόμενος, καθάπερ ὁ ἡμερώτατος ἡμῶν βασιλεὺς διὰ τὴν περὶ τοὺς ὑπηκόους στοργήν, καίτοι τὰ πλεῖστα κατὰ πολεμίων ἀγρυπνῶν καὶ προκινδυνεύειν ἡμῶν διὰ σπουδῆς ἔχων· εἰ μὴ σφαλερωτέραν ἡμῖν τὴν εἰρήνην ὁ δῆμος θεηλάτοις διχονοίαις ἀναπτόμενος ἀπετέλει, ὧν ἕνεκα βαρυτέραν τὸ δημόσιον δαπάνην ὑφίσταται πρὸς φυλακὴν τῆς εἰρήνης ἢ πρὸς ἀναχαιτισμὸν τῶν πολεμίων· ἔνθεν ἡ τῶν λεγομένων νόθων ἀναλωμάτων ἀφορμὴ καὶ στένωσις τῶν ἀναγκαίων. εἰ γὰρ τοὺς ἔμπροσθεν βεβασιλευκότας ῥᾳστώνη διέλυσε, πῶς ἂν ἠρέμησεν οὗτος, ὕπνῳ μὲν μηδὲ ὅλως χαλώμενος, τροφῆς δὲ χάριν μηδὲ ἄρτου ξηροῦ πρὸς κόρον ἁπτόμενος;

16. *Τῆς τοιαύτης οὖν συνηθείας ἤδη πρότερον εἰς τρυφὴν ἀναλυθείσης καὶ τῶν ἔμπροσθεν ἅμα τοῖς ὅπλοις καὶ αὐτὴν τὴν μέχρι λόγων φροντίδα τῶν κοι-*

2 *τὰς δὲ O*, *τοὺς δὲ* corr. *F* 6 *μετεκκλιτον O*, *μετεκκλητον* O_2, quod correxit L. Dindorf 11 *ἀνεχομενους O*, corr. O_2 12 *ὑπηκους*, quod correxit, *O* 15 *θειλατοις O*, corr. O_2 | *διχονοίας O*, corr. O_2 16 *ἧς O*, *ὧν* corr. *F* 21 *οὕτως O*, *οὗτος* corr. O_2

νῶν ἀποπτυσάντων νόμος ἐφοίτησε, τὸν ὕπαρχον ἀκροασασθαι τῶν σακρῶν διατυπώσεων, πρᾶγμα καὶ μετὰ τὴν ἐναλλαγὴν ἀρκοῦν ἐπιδεῖξαι τὴν οὖσαν αὐτῷ τὸ πάλαι θειότητα. λευχείμων μὲν γὰρ ὁ ὕπαρχος ἐπὶ τοῦ βήματος καὶ τάξις ἁρμοδία ὡσαύτως ἐσταλμένη μετ' αὐτοῦ καὶ αὐτοὶ δὲ οἱ τῶν δικῶν κύριοι λαμπροφανεῖς καὶ σιγὴ κατασκέπουσα τὸ δικαστήριον καὶ ῥητόρων οἱ διαφανέστατοι ἀξίας ἑορτῶν ἀμπεχόμενοι στολὰς καὶ ὁ τρίπους ἐν μέσῳ τοῦ ἀκροατηρίου, ἐξηρτημένου κατὰ μέσον τοῦ κανθάρου, καὶ κρατὴρ παρακείμενος, δι' οὗ ποτε πληρούμενος ὁ κάνθαρος ὕδατος τοσοῦτον ἐδίδου καιρὸν τῷ τῆς δίκης τέρματι, ἐφ' ὅσον διά τινος γνώμονος τοῦ ἐνόντος αὐτῷ ὕδατος διηθουμένου ὁ κύαθος ἀπηλλάττετο, καὶ ὁ λόγος τοῖς λέγουσιν ὅλως πρὸς θεῖον δικαστὴν ἀνυψούμενος. τούτων πάντων ἀπολομένων οὐδὲ ἴχνος τὸ λοιπὸν ἀπέμεινε σεμνότητος τῷ δικαστηρίῳ, τῶν συνεδρευόντων μόνον ἐν παραβύστῳ μετὰ γέλωτος τῶν περιεστηκότων ὥσπερ ἐν μίμοις τινῶν δῆθεν δικῶν ἀκροωμένων. καὶ τάξις οὐδεμία ἢ μήνυμα κατὰ τὸ πρόσθεν συνειθισμένον παραδηλοῦν τὸν χρόνον τῆς ἡμέρας· ὁ γὰρ τῆς τάξεως προεστηκὼς — σουβαδιοῦβαν αὐτὸν ὠνόμασαν οἱονεὶ ὑποβοηθόν — πραττούσης τῆς ἀρχῆς ἑστὼς ἐπὶ κορυφῆς τῶν ὑπηρετουμένων τροχίσκους τινὰς οὐκ εὐτελεῖς ἐξ ἀργύρου πεποιημένους, γραφὰς τῶν ὡρῶν ἔχοντας τῆς ἡμέρας τοῖς Ἰταλῶν ἀριθμοῖς καὶ γράμμασιν, ἐμβριθῶς ἀφιεὶς ἐξαπίνης ἐπὶ τὸ ἔδαφος θρόον ἀπετέλει

v. 1 Cod. Iust. VII tit. LXII 32

v. 1 *εφυτησεν O*, corr. *O*₂ 2 *διατυπῶν O*, quod correxi 14 *καὶ οὐ λογος O*, corr. *F* 22 *ωνομασεν O*, corr. *F* 27 *αφιης O*, corr. *F*

σεμνὸν παραδηλοῦντος τοῦ βαλλομένου τροχίσκου κατὰ τοῦ μαρμάρου τὴν τῆς ἡμέρας ὥραν.

17. *Καὶ τούτου τοῦ σεμνοῦ καὶ οὕτως ἀξιοπρεποῦς σχήματος ἀπολομένου, οἷα τῆς ἀρχῆς ἢ μηδ' ὅλως δρωμένης ἐπὶ τοῦ βήματος ἢ κατὰ τοὺς νόμους τοῦ Καππαδόκου — περὶ οὗ ὕστερον ἐρῶ — ἐν κοιτῶνί τινι λανθανούσης, οὐδεὶς τὸ λοιπὸν ἀξιόλογος παρῆλθεν ἐπὶ τὴν τάξιν οὕτως ἀπερριμμένην καὶ μᾶλλον αἰσχύνην ἢ τιμήν τινα τῷ προσιόντι φέρουσαν. συγκατέπεσεν οὖν ἑαυτοῖς τὰ πράγματα καὶ προευτελίσθη παρὰ πᾶσαν ἡ πρώτη καὶ ἀνίσχουσα τῶν ἀρχῶν, καθ' ὁντιναοῦν καιρὸν ἐπὶ τὴν αὐλὴν εὐτελῶς ἑλκομένη, τὸ πρὶν μηδέποτε, μήτι γε πάσης τῆς βουλῆς προτρεχούσης ἐν τοῖς λεγομένοις σιλεντίοις ἐπὶ τῆς αὐλῆς φαινομένη, κατὰ τὸ πρόσθεν εἰρημένον τελευταία μὲν πασῶν εἰσιοῦσα τῶν ἀρχῶν, πρώτη δὲ προϊοῦσα, τῆς βασιλέως εἰκόνος ἀντ' αὐτοῦ παραπεμπούσης αὐτήν· ἔνθεν τοῦ πρώτου τῶν λεγομένων σιλεντιαρίων — ἀμισσιωνάλιος καλεῖται — ἐξ ἑωθινοῦ πρὸς τῆς βασιλείας πρὸς αὐτὴν στελλομένου καὶ γονυπετῶς προτρέποντος ἐπὶ τὴν αὐλὴν παρελθεῖν, ἡ δὲ μόγις καὶ ἀπαξιοῦσα τὸν σκυλμὸν ἐκινεῖτο.*

18. *Ὑπόλοιπον περὶ ⟨τῶν⟩ τῆς τάξεως κατὰ λεπτὸν ἀφηγήσασθαι, πόσοις τε καὶ ποίοις συμπληροῦνται καταλόγοις, ἔθη τε καὶ νόμους ἀπαριθμήσασθαι. πέπεισμαι γὰρ ἤδη μηδὲ μνήμην τινὰ σώζεσθαι τῶν ἄρτι διαπε-*

v. 6 vide infra III 57 15 vide supra II 9

v. 8 *ἀπηρριμμένην O*, corr. *F* 10 *προσευτελίσθη O*, corr. *F* 13 *μήτε γε O*, *εἰ μή γε* coni. *F* et in ep. p. 26: *εἰ μή τί γε*, *μήτι γε* corr. *B* 21 *εἰ δὲ O*, *ἡ δὲ* corr. *F* 23 *ὑπολοιπου O*, corr. O_2 | *τῶν* add. *F*

σόντων, ἀπαιδεύτων οἷα καὶ μηδεμίαν πεῖραν δικαστηρίου παρειληφότων ἐπεμβαινόντων τοῖς ποτε μόγις πρὸς τῶν ἐμπειροτάτων καὶ πρὸς γῆρας ἤδη σεμνοφανὲς ἀφικομένων μετ' εὐχῆς χειριζομένοις. νόμος γὰρ ἦν οὐ ψιλὸς ἀλλ' ἐν γράμμασι μηδενὶ παντελῶς ἐπιτρέπων ἐπὶ τὸ τοῦ βοηθοῦ ἀναβαίνειν φρόντισμα, πρὶν ἂν γένους τε μετριότητι καὶ λόγων ἐλευθερίων παρασκευῇ κοσμούμενος καὶ ἔνατον ἐνιαυτὸν ἐπὶ τῆς δέλτου διαπρέψας, δι' ὅλης τε ἐλθὼν τῆς τῶν πραγμάτων πείρας καὶ τὴν ἀπὸ τῆς νεότητος τόλμαν εἰς ἐπιείκειαν μεταβαλών, τιμῆς οὕτω σεμνῆς καὶ δύναμιν οὐ μικρὰν ἐχούσης καὶ κέρδος εἰς χιλίους ποτὲ συναγόμενον χρυσοῦς ἄξιος εἶναι φανείη.

19. Ἀλλ' ἴσως τῶν ἀναγνωσομένων οἱ νουνεχέστεροι οὐκ ἔξω λόγου καταδραμοῦνται φήσοντες· 'τί δέ ποτε περὶ τῶν ἐπισήμων τῆς ἀρχῆς ὑποσχόμενος εἰπεῖν, μὴ καὶ βηξίλλων καὶ πελέκεων καὶ κλημάτων ἐμνημόνευσας; ταῦτα γὰρ ἦν τῷ ἱππάρχῳ τὸ πάλαι, ἀντ' ἐκείνου δὲ ⟨τὸν⟩ τῶν πραιτωρίων ὕπαρχον ὁ πρῶτος τῶν βασιλέων ἤτοι Καισάρων ἐχειροτόνησεν.' ἦν μὲν οὖν, φημί, καὶ ταῦτα γνωρίσματα τῶν πραιτωρίων ὑπάρχων ἄχρι Δομιτιανοῦ. αὐτὸς δὲ Φοῦσκον τοὔνομα τῆς ἀρχῆς προστησάμενος, ἐγγὺς ὅλην τὴν τῆς ἱππαρχίας μνήμην ἀπήλειψε, μὴ πέλεκυν, μὴ βήξιλλα μηδὲ τὰ λεγόμενα κλήματα καταλιπών. τὸ γὰρ ἐπὶ τοῦ παρόντος τῷ πρίγκιπι κλῆμα φερόμενον, οὐδὲν

v. 15 *δεποτε O*, *δήποτε* coni. O_2 *F*; *sed necesse non est F* ep. p. 26   17 *βηξέλλων O*, corr. *F*   18 *ὑππαρχω O*, corr. *F*   19 ⟨*τὸν*⟩ addidi   21 *φήμη O*, *φημὶ* corr. *F*   23 *γῆν O*, *τὴν* corr. *F*   24 *ἀπειληψεν O*, corr. O_2 | *πέλεκυ O*, corr. O_2 | *βεξελλα*, quod correxit, *O*   25 *καταλειπων O*, corr. O_2 26 *οὐδετερον O*, corr. *B*

ἕτερον παρὰ τὴν προσηγορίαν διασώζει τῆς ἀρχαιότητος. πάλαι γὰρ καὶ νῦν δὲ παρὰ τοῖς τῶν ὅπλων στρατεύμασιν ἐπιφέρεται ὁ τῶν λεγομένων βιάρχων πρῶτος ῥάβδον κλήματι ἐξ ἀργύρου πεποιημένῳ περιπεπλεγμένην πρὸς τιμῆς τοῦ ποτε τιμηθέντος Διονύσου, ὡς ἐν τοῖς περὶ μηνῶν ἀποχρώντως ἡμῖν ἀνήνεκται. πέλεκυν δὲ μόνῳ τῷ ὑπάτῳ καὶ ταῖς ὑπατικαῖς ἀρχαῖς τῶν ἐπαρχιῶν καταλέλοιπεν ὁ χρόνος ἐναλλαγείς, ἴσως ἐρυθριάσας καὶ τούτου τοῦ γνωρίσματος τὴν ὕπατον ἀφελέσθαι τιμήν. βήξιλλα γὰρ αὐτὸς μόνος ὁ Καῖσαρ ἔχειν τὸ λοιπὸν γνωρίζεται· τίνα δὲ ταῦτα, ἐν τῷ περὶ μηνῶν ἐπεδείξαμεν. κενόδοξος γὰρ ὢν ὁ Δομιτιανὸς τοῖς νεωτερισμοῖς ἔχαιρεν· ἴδιον δὲ τυράννων ἀνατρέπειν τὰ πάλαι καθεστηκότα. ὅθεν οὐ μόνον τὴν ἐπαρχότητα τῶν πραιτωρίων τῆς οὔσης αὐτῇ τὸ πρὶν τιμῆς ἐζημίωσεν, ἀλλὰ μὴν καὶ τὴν πολίαρχον ἐξουσίαν, τό γε εἰς αὐτὸν ἧκον, διεσπάθισε, δύο πρὸς τοῖς δέκα ὑπάρχους πόλεως ἀνθ' ἑνός, ὡς δὴ καθ' ἕκαστον τμῆμα τῆς Ῥώμης, προχειρισάμενος.

20. Οὐκ ἦν δὲ καταγώγιον ὡρισμένον ἀνέκαθεν οὐδεμιᾷ τούτων τῶν ἀρχῶν, οὐκ ἐπὶ τῆς πρώτης, οὐκ ἐπὶ τῆς καθ' ἡμᾶς βασιλίδος, ὡς ἐπὶ τοῦ παρόντος, ἀλλ' ἐπὶ τῶν οἰκείων ἑδρῶν ὁ τὴν ἀρχὴν ἐφέπων ἔπραττε. καὶ τοῦτο ἄχρι τοῦ καθ' ἡμᾶς Λέοντος διέμεινεν, ἐφ' οὗ Κωνσταντῖνος τὴν ὕπαρχον ἔχων τι-

v. 6 de mens. p. 17, 10 11 de mens. p. 17, 16 app.

v. 2 *παρ' αὐτοῖς O*, *παρὰ τοῖς* coni. *F*, *παρ' αὐτοῖς* ⟨*τοῖς*⟩ Gu. Kroll, Berl. philol. Wochenschr. 1899 p. 613 6 *ανηνεγκται O*, corr. *F* 7 *πέλεκυ O*, corr. *F* 9 *ἐναλλαγης O*, *ἐναλλαγεὶς* coni. *F* 10 *βίξιλλα O*, corr. *F* 16 *πολυαρχον O*, corr. *F* 17 *διεσπάθησε O*, *διεσπάθισε* coni. O_2, et *F* coll. I 36 23 *ἔπων O*, *διέπων* coni. *F*, *ἔχων* B, *ἐφέπων* scripsi

μήν, ἀνὴρ εὐπατρίδης ἐκ Μαζάκης μὲν καὶ αὐτὸς ὁρμηθείς, ἀνάλογον δὲ τὴν ἀρετὴν τῇ κακίᾳ τοῦ πονηροῦ Καππαδόκου κεκτημένος, διὰ λόγων τε ἄριστα καὶ διαφερόντως τῶν παρ' Ἰταλοῖς τότε μάλιστα τιμωμένων ἡγμένος ἀγορὰν ἐδείματο διαπρεπεστάτην, Λέοντος αὐτὴν προσαγορεύσας, ἐν ᾗ καὶ τὴν προαγωγὴν ἐκείνου ψηφῖδι κατεγράψατο. ταύτην, ὡς εἶπον, αὐτὸς οἰκείοις ἀναλώμασι κατασκευάσας, οἷα γειτνιῶν τῷ χωρίῳ, καὶ Ῥούφῳ τῷ καθ' ἡμᾶς πάππος γενόμενος, παρεχώρησεν τῇ ἀρχῇ δίαιταν εὐτελῆ καὶ σώφρονα, πρὸς θεραπείαν τοῦ κατὰ καιρὸν τὴν ἀρχὴν ἐκδεχομένου κατασκευάσας πρᾶγμα πάσης ἀποδοχῆς ἄξιον· ἡ πρώτη καὶ ἀνέχουσα τῶν ἀρχῶν, ἡ μόνῳ τῷ σκήπτρῳ παραχωροῦσα ἐπὶ μικρᾶς ⟨τότε ἔπραττεν οἰκίας⟩· οὕτως ἦν παρὰ τοῖς παλαιοτέροις τὰ τῆς τρυφῆς ἠμελημένα, οἳ μόνης ἀπέλαυον τῆς τῶν ὑποτελῶν εὐθυμίας.

21. Σέργιος δὲ ὕστερον ἐκ τῶν δικανικῶν ῥητόρων ἀνὴρ σοφιστὴς καὶ διὰ τοὺς λόγους αἰδέσιμος Ἀναστασίῳ τῷ χρηστῷ τὴν εἰρημένην δίαιταν ὑπερῴῳ φορτώσας καταγωγίῳ τὸ μὲν σῶφρον ὑπερεῖδε, μείζονα δὲ τρυφὴν τῆς ἀρχῆς ἤδη μαραινομένης εἰσήγαγεν οὐ προθεωρήσας — οὐδὲ γὰρ ἀνθρωπίνης φύσεως τὸ ἐσόμενον στοχάζεσθαι — φωλεὸν τῷ Καππαδόκῃ κατασκευάζειν· τῷ γε μὴν βαλανείῳ τῆς διαίτης ἠρκέσθη, ἐπὶ γοῦν αὐτοῦ τιμήσας τὸ μέτριον. ὁ δὲ Καππαδόκης — τίς δὲ οὗτος, μικρὸν ὕστερον ἐρῶ — ἐνσκήψας τῇ ἀρχῇ τὴν μὲν παλαιὰν καὶ οὕτω σεμνὴν τῆς ἀρχῆς δίαιταν

v. 26 vide infra III 57

v. 9 *παρεχώρησε ἐν O*, *ἐν* del. *F*, *παρεχώρησεν* scripsi 14 post *μικρᾶς* lacunam statuit *F*, quam explere temptavi 15 *απηλαυον O*, *ἀπέλαυον* voluit *F*

ταῖς φάλαγξι τῶν θεραπόντων αὐτοῦ παρεχώρησεν· αὐτὸς δὲ ἐπὶ τῆς ὑπερῴας κατακοιταζόμενος, οὔρου καὶ ἀφόδου περισκοποῦντος τὸν κοιτῶνα, γυμνὸς ἐπὶ τῆς κλίνης ἐξεκέχυτο, πάντας τοὺς ἀπὸ τῆς τάξεως ὡσεὶ πονηροὺς οἰκέτας πρὸ τοῦ κοιτῶνος παραφυλάττειν ἐγκελευόμενος, αὐτὸς δὲ τοὺς ἀρέσκοντας ἐπιλεγόμενος καὶ τοῖς θηριωδεστάτοις τῶν οἰκετῶν, βαρβάροις καὶ λύκοις ταῖς ψυχαῖς ἅμα καὶ ταῖς προσηγορίαις, πρὸς τιμωρίαν ἐκτιθέμενος. τρυφῶν οὖν ἐκτόπως τὸ πάλαι βαλανεῖον εἰς ἔπαυλιν ὑποζυγίων μεταθέμενος ταῖς ἀγέλαις τῶν ἵππων εἰς μέρος βραχὺ παρεχώρησεν· ἕτερον δὲ ἐπὶ τοῦ ἀέρος κρεμάσας βαλανεῖον καὶ τὴν φύσιν τῶν ὑδάτων εἰς ὕψος ἄτακτον ἀναρρεῖν συνωθήσας, ἐλούετο ἐν αὐτῷ οὕτως, ὡς προτετραγῴδηται. εἶτα ἐκεῖθεν, ⟨ἔνθα⟩ τά τε ἀέρος τά τε γῆς τά τε νηκτὰ πάντα μετὰ τῶν ἁπανταχόθεν οἴνων κατέπινε καὶ μυρίαις συνδιεφθείρετο μίξεσιν ἀδιακρίτοις, αὐτὸς ἐπὶ τῆς χλαμύδος θεριστρίῳ, ὡσεὶ κρηδέμνῳ, τὴν κεφαλὴν περιδεσμῶν καὶ τὰς τρίχας ἐνειλῶν τῇ καλύπτρῃ, ὡς Πομπηΐου παράσιτος κατὰ τὸν Πλούταρχον, ἢ τἀληθὲς εἰπεῖν, ὡς οἱ τῆς σκηνῆς ἄρχοντες, διεβαστάζετο ἐπὶ τὰς αὐλάς, ἃς αὐτὸς κατεσκεύασεν ἑαυτῷ· ὧν εἴ τις θέλοι τὴν ἀσωτίαν καὶ τὴν τῶν κτισμάτων διεξιέναι τῷ λόγῳ λαμπρότητα, Σεσώστριος ὁμοῦ καὶ Ἀμάσιος

v. 20 Plut. Pomp. XL

v. 3 *περισκέποντος* coni. Th. Preger 11 *των των ἵππων* O, alterum *των* del. O_2 13 *συνωθεισας*, quod in *συνωθεισιας* mutavit O, corr. O_2 15 *ἔνθα* addidi 16 *κατεπιννε* O, corr. O_2 17 *συδιεφθειρετο* O, corr. O_2 | *αὐτός· ἐπί ⟨τε⟩* coni. F 20 *εἰτ' αληθές* O, corr. O_2 21 *ὁ τῆς* O, corr. O_2 | *ἀρχοντος* O, *ἄρχων* coni. O_2, corr. F 24 *σεσώστριω ὁμοῦ καὶ ἄσμασιν καὶ τοῖς ἄλλοις* O, corr. F

καὶ τῶν ἄλλων μαυσώλειά τε καὶ πυραμίδας καὶ τἆλλα, ὅσων οἱ τὰς Αἰγυπτιακὰς ἀναγράψαντες ὑπερηφανίας μνημονεύουσι, μέτρια καὶ φιλοσοφοῦσι πρέποντα καταυλήματα λέγων οὐ σφαλήσεται.

22. Ὑπόλοιπόν ἐστι κατὰ τὸ πρόσθεν ἐπηγγελμένον περὶ τῆς τάξεως εἰπεῖν, ποία τε τίς ἦν ποτε παρὰ τῷ ἱππάρχῳ καὶ ποία γέγονε μετ᾽ ἐκεῖνον ὑπὸ τῷ τῶν πραιτωρίων ὑπάρχῳ, περί τε τῶν ἐν αὐτῇ καταλόγων, προσηγοριῶν τε καὶ λειτουργιῶν, περί τε ἐθῶν καὶ συμβόλων καὶ τῶν ἐπὶ τοῖς συνταττομένοις χάρταις ῥημάτων καὶ ἁπλῶς, ὅσα ἡμῶν ἄχρι τηρούμενα τῆς ἀρχῆς ἐλαττωθείσης καὶ τῆς ὑπηρετουμένης αὐτῇ τάξεως συμπεσούσης παραπόλωλεν, ὅπως μὴ ⟨σὺν⟩ τοῖς ἴχνεσι τῆς ἀρχαιότητος καὶ αὐτὴ ἡ τῶν ἀρετῶν μνήμη μὴ γοῦν γράμμασιν ἀναφερομένη παντελῆ λάχῃ τὴν ἀναίρεσιν· τέως δὲ περὶ τῶν ὑπολοίπων τῆς πολιτείας ἀρχῶν, καὶ τὸ δὴ πέρας ἴδιόν τινα περὶ τῆς τάξεως λόγον ἐκθήσομαι· οὐδὲ γὰρ εὐπρεπὲς ταῖς ἀρχαῖς τοὺς ἀρχομένους συναριθμεῖν.

Περὶ τοῦ λεγομένου μαγίστρου τῶν θείων ὀφφικίων, ἀντὶ τοῦ· ἄρχοντος τῶν αὐλικῶν στρατευμάτων.

23. Πάντα μὲν τὰ ὄντα καὶ γίνεται καὶ ἔστι κατὰ τὴν τοῦ ἀγαθοῦ φύσιν· τὰ μὲν ὄντα, ὡς ἔστι, τὰ δὲ γινόμενα οὐκ ὄντα μὲν ἀεὶ οὐδὲ ὡσαύτως ἔχοντα, διὰ

v. 5 vide supra II 18

v. 1 μαυσωλεα *O*, corr. *F* 3 φιλοστοφοῦσι *O*, corr. O_2 13 σὺν add. *F* 18 του ἀρχομένου *O*, corr. *B* 24 τὰ μὲν κ---- (o in ras.) ὧς ἐστι τὰ *O*, τὸ . . τὸ volebat *F*

δὲ τῆς γενέσεως ἐπὶ τὴν φθοράν, εἶτα ἐξ ἐκείνης ἐπὶ τὴν γένεσιν ἀναστρέφοντα, καὶ τῷ εἶναι μὲν ἀθάνατα, τῷ δὲ μεταβάλλεσθαι ἀλλοιότερα· εἰς ἑαυτὰ γὰρ ἀναχωροῦντα τῇ μὲν οὐσίᾳ ἐστί, τῇ δὲ φθορᾷ γίνεται, τηρούσης αὐτὰ τῆς φύσεως παρ' ἑαυτῇ προαγούσης τε αὖθις εἰς τοὐμφανὲς κατὰ τοὺς ὑπὸ τοῦ δημιουργοῦ τεθέντας ὅρους. ταῦτά φησιν ὁ λόγος διὰ τὴν ἀρχέτυπον τῆς καθ' ἡμᾶς πολιτείας ὄψιν, ἐφ' ἧς ἴσμεν πρὸ πάσης ἀρχῆς τὴν τοῦ ἱππάρχου δύναμιν, ὡς εἴρηται, γενέσθαι· εἶτα, ὡς ἀπαλιφεῖσα ἐκείνη τῷ χρόνῳ εἰς τὴν ὕπαρχον μετεφύη τιμήν. αὐτῆς δὲ τὸ πολίτευμα παραλαβούσης αὖθις ἡ βασιλεία εἰς τὴν τοῦ ἱππάρχου περιέστη χρείαν· καὶ προῆλθεν εἰς τὸ μέσον, μᾶλλον δὲ προηνέχθη ὑπὸ τῆς τῶν πραγμάτων φύσεως ἡ πρὶν ἀπαλιφεῖσα δι' ἑτέρας προσηγορίας ἀρχή, κατὰ μηδὲν μὲν ἀποδέουσα τῆς οἰκείας ὑποστάσεως, μείζονι δὲ δυνάμει καὶ προσθήκῃ τῶν οὐκ ὄντων αὐτῇ τὸ πρὶν ὠχυρωμένη.

24. *Καὶ μηδεὶς πρὸς τὸ καινὸν τῆς προσηγορίας ἀποπηδάτω· εἰ γὰρ ἀπίδοι ἐμμελῶς εἰς τὰ πράγματα, οὐδὲ αὐτὴν τὴν ἐπωνυμίαν τῆς ἀρχῆς διαφωνοῦσαν πρὸς ἑαυτὴν εὑρήσει. ὁ μὲν γὰρ ἵππαρχος παρῆν ἀεὶ τῷ ῥηγὶ ἢ τῷ μονάρχῳ, τῆς μὲν ἱππικῆς δυνάμεως ἡγούμενος, τῆς δὲ αὐλῆς πάσης προεστηκώς· ὥστε ὁ λεγόμενος κατὰ νεωτέραν προσηγορίαν μάγιστρος οὐδὲν ἕτερον ἢ ἵππαρχός ἐστι· τῆς δὲ μεταβολῆς τοῦ ὀνό-*

v. 9 vide supra I 14

v. 1 *ειτε* *O*, corr. *B* 2 *τὸ εἶναι . . . τὸ δὲ* *O*, *τῷ εἶναι . . τῷ δὲ* coni. *B* 10 et 15 *ἀπαλοιφεῖσα* *O*, *ἀπαλειφθεῖσα* corr. O_2, *ἀπαλιφεῖσα* *B* 13 *ὑπάρχου* *O*, corr. *F* 20 *αφειδοι* *O*, corr. O_2 25 post *λεγόμενως* (sic, corr. O_2) tres litterae erasae in O

ματος αἰτία ἡ τῆς πλείονος ἐξουσίας ἐπικράτεια γέγονε. τὸ γὰρ μάγιστρος ὀφφικίων ὄνομα οὐδὲν ἢ τὸν ἡγούμενον τῶν αὐλικῶν καταλόγων σημαίνει, ὡς προέφαμεν, ἐν οἷς ἥ τε ἱππικὴ καὶ ἡ πεζομάχος δύναμις τῆς βασιλείας θεωρεῖται εἰς μυρίους συναγομένη πολεμιστάς. καὶ τοῦτο μὲν μόνον εἶχεν ὁ ἵππαρχος τὸ προνόμιον· ὁ δὲ μάγιστρος τὸ πλέον, τῆς βασιλείας εἰς τοσοῦτον ὕψος ἀνενεχθείσης. τότε μὲν γὰρ μόνην τὴν Ἰταλίαν ἐκέκτηντο Ῥωμαῖοι, νῦν δὲ θεοῦ προϊσταμένου πᾶσαν ὁμοῦ γῆν τε καὶ θάλασσαν ἔχουσιν.

25. Καὶ ὅστις μὲν οὖν ὠνομάσθη τὴν ἀρχὴν μάγιστρος, οὐκ ἔχω λέγειν τῆς ἱστορίας σιγώσης· οὐδὲ γὰρ πρὸ Μαρτινιανοῦ, ὃς ἦν ὑπὸ Λικινίῳ μάγιστρος, ἄλλου τινὸς προσηγορίαν ἡ ἱστορία παραδίδωσιν. αὐτοῦ δὲ τούτου ὑπὸ Λικινίῳ ⟨μαγιστρεύοντος⟩ ὁ Κωνσταντῖνος τὴν ὅλην τῆς βασιλείας μόνος κατασχὼν ἐξουσίαν, Παλλάδιον μάγιστρον τῆς αὐλῆς ἐχειροτόνησεν, ἄνδρα συνετὸν καὶ Πέρσας Ῥωμαίοις πρότερον καὶ Μαξιμιανῷ τῷ Γαλερίῳ διὰ πρεσβείας φιλώσαντα. τοῖς δὲ ἱμειρομένοις τοὺς ἐφεξῆς μὴ ἀγνοῆσαι μαγίστρους ἄχρις ἡμῶν, ἀρκέσει πρὸς διδασκαλίαν Πέτρος ὁ πάντα μεγαλόφρων καὶ τῆς καθόλου ἱστορίας ἀσφαλὴς διδάσκαλος δι' ὧν αὐτὸς ἐπὶ τοῦ λεγομένου μαγιστερίου ἀνεγράψατο.

v. 3 supra p. 78, 20 14 Aurel. Vict. epit. XLI

v. 2 ἧττον *O*, ἧττον τὸν scripsit *F* ep. p. 27, ἢ τὸν corr. Gu. Kroll 9 προϊσταμεμενου et prius με erasum habet *O* 14 αὐτῷ δὲ τούτῳ coni. *F* 15 μαγιστρεύοντος addidi 17 αὐτῆς *O*, αὐλῆς corr. *F* 19 φειλώσαντα *O*, φιλιώσαντα corr. O_2, φιλώσαντα *F* 20 ὁμηρομένοις *O*, ὁμειρομένοις coni. O_2, corr. *F* 23 μαγιστεριου *O*, μαγιστηρίου volebat *F*; sed v. p. 66, 1

26. Προῆλθεν οὖν ἡ δύναμις ἐπὶ πλέον τῆς ἀρχῆς· οὐ μόνον γὰρ τὰς τῶν ἐθνῶν πρεσβείας ὑφ' ἑαυτῷ τελούσας ὁ μάγιστρος ἔχειν πιστεύεται, τόν τε δημόσιον δρόμον καὶ πλῆθος ἐμβριθὲς τῶν πάλαι μὲν φρουμενταρίων, νῦν δὲ μαγιστριανῶν, τήν τε τῶν ὅπλων κατασκευὴν καὶ ἐξουσίαν, ἀλλ' ἔτι καὶ τὴν τῶν πολιτικῶν πραγμάτων· καὶ διαφερόντως Πέτρος οὗτος ὁ πολύς, ὁ μηδενὶ ταῖς ἀρεταῖς κατὰ μηδὲν δευτέρος. διασώζει μὲν γὰρ καὶ φρουρεῖ τὴν αὐλὴν καὶ τὴν Ῥωμαϊκὴν οὐκ ἀποπτύει μεγαλειότητα, ἣν ἐγγὺς ἀπολομένην ἀβελτερίᾳ τῶν πρὸ αὐτοῦ οἷα σοφὸς καὶ διὰ παντὸς τοῖς βιβλίοις προσανέχων ἀποκαθίστησι. τοὺς δὲ νόμους εἰδὼς εἴπερ τις ἄλλος, οἷς ἐξ ἁπαλῶν ὀνύχων ἐνετράφη, συνηγορῶν τοῖς δεομένοις, ἄρχων τε μέγιστος καὶ ἀξίαν ὀφρὺν τῆς ἐξουσίας ἀνατείνων ἐδείχθη καὶ δικαστὴς ὀξὺς καὶ τὸ δίκαιον κρίνειν εἰλικρινῶς ἐπιστάμενος κατὰ μηδὲν αὐτὸν ὑπτιαζούσης τῆς τύχης. πρᾷος μὲν γάρ ἐστι καὶ μειλίχιος, ἀλλ' οὐκ εὐχερὴς οὐδὲ πρὸς τὰς αἰτήσεις ἔξω τοῦ νόμου καμπτόμενος, ἀσφαλὴς δὲ ὁμοῦ καὶ προβλέπων τὰς ὁρμὰς τῶν προσιόντων, μηδένα καιρὸν ταῖς ῥᾳθυμίαις παραχωρῶν, τὴν μὲν νύκτα τοῖς βιβλίοις, τὴν δὲ ἡμέραν τοῖς πράγμασιν ἐγκείμενος, μηδὲ αὐτὴν τὴν μέχρι τῆς αὐλῆς ἐκ τῆς οἰκίας ἐν ὁμιλίαις διασυρίζων ἁπλῶς, ζητήμασι δὲ λογικοῖς καὶ ἀφηγήσεσι πραγμάτων ἀρχαιοτέρων μετὰ τῶν περὶ ταῦτα σχολαζόντων εἱλούμενος. καὶ καιρὸς οὐδεὶς αὐτῷ διδαγμάτων ἐστὶν ἀμέριμνος, ὡς τοὺς τῶν λόγων ἐξηγητὰς δεδιέναι τὴν πρὸς αὐτὸν ἐντυχίαν· πράγμασι γὰρ αὐτοὺς καὶ στροφαῖς περιβάλλει

v. 14 ἀνετράφη *O*, ἐνετράφη corr. *B* 21 προιόντων *O*, corr. *F* | μηδεν ἄκαιρον *O*, corr. F 23 ἐκκείμενος *O*, corr. F

μετρίως ὑπελέγχων, ὡς λέγοιντο μόνον· οὐκ εἰσὶ δὲ τοιοῦτοι, ὁποίους αὐτοὺς ἡ φήμη διαθρυλεῖ. ἐμοὶ δὲ μάλιστα σκοτοδινίας οὐ μικρὰς ἀνακινεῖ ἡ πρὸς αὐτὸν συνήθεια· χαίρω γὰρ αὐτῷ, ὅτι καλὸς ἅμα καὶ ἐλεύθερος καὶ τύφου καὶ κορύζης ἐκτός, ἀστεῖός τε καὶ κοινός· ἀλλ' ἐπισείει μοι, ὡς εἴρηται δή, φροντίδας οὐ μικράς, μηδὲν ὧν ἐπίστασθαι δοκῶ προτείνων εἰς ζήτησιν, τὰ δὲ παντελῶς ἠγνοημένα παρεισάγων· ὥστε με τὰς πασῶν ἰσχυροτάτας εὐχὰς μελετᾶν, μηδεμίαν αὐτὸν ἄβατον ἐμοί, ὥσπερ εἴωθεν, ἐπιρροιζῆσαι θεωρίαν.

Περὶ τοῦ ἐπάρχου Σκυθίας καὶ τοῦ Ἰουστινιανοῦ πραίτορος καὶ τοῦ κυαισίτορος.

27. Τ[οσού]των ἀρχόντων, τῶν ἐπὶ τῆς Ῥώμης τῷ νόμῳ γνωρι[ζο]μένων, μνήμην ἡ καθόλου ἱστορία ἐκ προοιμίων ποιεῖται τῆς Ῥωμαϊκῆς πολιτείας ἄχρι τῆς Ἀναστασίου τοῦ βασιλέως τελευτῆς. κόμιτα γὰρ λαργιτιώνων, ⟨ὡς⟩ Ἰταλοὶ λέγουσιν ἀντὶ τοῦ προεστῶτα τῶν τῆς βασιλείας θησαυρῶν, καὶ κόμιτα πριβάτων ἀντὶ τοῦ τῶν ἰδίᾳ πως τοῖς βασιλεῦσι προσηκόντων, οὐκ ἄν τις ἐν ἀρχόντων ἀριθμήσειέ ποτε καταλόγῳ, θεραπόντων δέ· ⟨οἳ μηδὲ⟩ προαγωγῆς ἄρχουσι πρεπούσης ἀξιοῦνται, κατὰ δὲ τὸ δοκοῦν τῇ βασιλείᾳ πρόσφατον ἔχουσι καὶ λανθάνουσαν τὴν γένεσιν, ὥσπερ ὁ λεγόμενος πατριμώνιος ἀντὶ τοῦ φύλαξ τῆς ἰδίᾳ πως ἀνηκούσης τῷ βασιλεῖ καὶ τυχὸν ἐκ προγόνων περιουσίας,

v. 6 *επισῃ* O, *ἔπεισι* coni. O_2, *ἐπισείει* F | *εἴρηται δὲ* O, *δὲ* del. O_2, *δὴ* scripsi | *φροντίδας οὐ μικρὰς* O, *φροντὶς οὐ μικρὰ* coni. O_2 9 *βελετᾶν* O, corr. F 10 *αὔτων* O, corr. F | *ἐπιρυζῆσαι* O, corr. O_2 17 *ὡς* add. F 18 *προβάτων* O, *πριβάτων* corr. F 21 *οὐδὲ γὰρ* add. F, *οἳ μηδὲ* Gu. Kroll 22 [illegible]*φατον* O, *πρόφαντον* coni. F ep. p. 28

ὃν καὶ αὐτὸν οὐ πρὶν ἀριθμούμενον Ἀναστάσιος ὁ πάντα ἔμφρων ἀνεστήσατο, διάκρισιν, ὥσπερ εἰώθει, περινοῶν τοῖς πράγμασιν, ὅπως μὴ συγχύσει κάμνοιεν.

28. *Μετ' ἐκεῖνον δὲ Ἰουστίνου ἐν ἡσυχίᾳ βιοῦντος καὶ μηδὲν νεώτερον ἐξευρόντος ὁ μετὰ ταῦτα, ἀδελφιδοῦς αὐτῷ γενόμενος, πᾶν ὅ,τι χρήσιμον περιποιεῖν τοῖς κοινοῖς ἐπειγόμενος ὅλην τε τὴν ὀφρὺν τῆς ἀρχαίας ὄψεως ἀνακαλούμενος, πρῶτον μὲν ἐξεῦρε τὸν λεγόμενον τῆς Σκυθίας ὕπαρχον. σοφὸς [γὰ]ρ ὢν καὶ διὰ τῶν βιβλίων εὑρών, ὡς εὐδαίμων μὲν ἡ χώρα τοῖς χρήμασιν, ἰσχυρὰ δὲ τοῖς ὅπλοις ἐστί τε νῦν καὶ πάλαι γέγονεν, — ⟨ἣν⟩ πρῶτος ἑλὼν σὺν Δεκεβάλῳ τῷ Γετῶν ἡγησαμένῳ Τραϊανὸς ὁ πολὺς πεντακοσίας μυριάδας χρυσίου [λι]τρῶν, διπλασίας δὲ ἀργύρου, ἐκπωμάτων ἄνευ καὶ σκε[υῶν] τιμῆς ὅρον ἐκβεβηκότων, ἀγελῶν τε καὶ ὅπλων, καὶ ἀνδρῶν μαχιμωτάτων ὑπὲρ πεντήκοντα μυριάδας σὺν τοῖς ὅπλοις Ῥωμαίοις εἰσήγαγεν, ὡς ὁ Κρίτων παρὼν τῷ πολέμῳ διϊσχυρίσατο — συνεῖδεν αὐτὸς κατὰ μηδὲν Τραϊανοῦ παραχωρῶν, περισῶσαι Ῥωμαίοις ἤδη ποτὲ ἀφηνιάζουσαν τὴν βορείαν. καὶ θαυμαστὸν οὐδέν, εἰ πάντα κατ' εὐχὰς προῆλθεν αὐτῷ· οὐδὲ γὰρ Τραϊανὸν τοῖς ὅπλοις ἐζήλωσε μόνον, ἀλλ' αὐτὸν Αὔγουστον τῇ περὶ θεὸν εὐσεβείᾳ καὶ τρόπων μετριότητι, καὶ Τίτον τῇ καλοκἀγαθίᾳ, Μάρκον δὲ τῇ συνέσει παρώθησεν.*

v. 18 Crito v. FHG IV p. 374

v. 4 *ἰουστινιανοῦ O*, corr. *F* 12 *ἣν* add. *F* | *δεκιβάλω O*, corr. *F* 13 *τῶν O*, *τῷ* corr. *F* 14 *διαπλασίου* quod in *διπλασίου* correxit *O*, *διπλασίας F* 15 *ἐκπομάτων O*, mutavit *F* 18 *ὡς ἀκρίτον* quod in *ὡσα κρίτον* correxit *O*, *ὅσα κρίτων* volebat O_2, *ὡς ὁ Κρίτων* corr. *F* 19 μηδένα O, in *μηδὲν* mutavit *B* 23 θεῶν O, θεὸν coni. F

29. Ὡς ἔφθην εἰπών, προάγει τοίνυν ἔπαρχον ἐπόπτην τῶν Σκυθικῶν δυνάμεων, ἀφορίσας αὐτῷ ἐπαρχίας τρεῖς τὰς πασῶν ἐγγὺς εὐπορωτάτας, Κεραστίδα — τὴν καθ' ἡμᾶς Κύπρον, ἀπὸ Κύπριδος κατὰ τὸν μῦθον τιμηθείσης ἐν αὐτῇ μεταβαλοῦσαν τὴν προσηγορίαν — Καρίαν τε ὅλην σὺν ταῖς Ἰωνίσι νήσοις· ἃς ἄρτι τελούσας ὑπὸ τὴν πρώτην τῶν ἀρχῶν, ὥσπερ τὰς ἄλλας ἁπάσας, συνεῖδεν ὁ βασιλεὺς χωρισθείσας αὐτῆς τελεῖν ὑπὸ ⟨τῷ⟩ Σκυθίας ἐπάρχῳ καὶ φόρον ἴδιον ἀπένειμε πρὸς δικαστήριον, καὶ τάξιν ὅλην, ὡσεὶ σπινθῆρά τινα τῶν ἐν Λιπάρῃ κρατήρων ἀνάψας ἐκ τῆς ἐπαρχότητος, πολλὰ καθ' ὁμαλοῦ χρηστὰ τοῖς κοινοῖς τεχνησάμενος. τήν τε γὰρ μεγίστην καὶ ⟨τὴν⟩ δευτέραν ἐξουσίαν αὐτὸς καὶ μόνος οὐ μετρίων ἐκούφισε πόνων, διελὼν τὰς φροντίδας τῶν πραγμάτων ἄρχουσι πολλοῖς· ἀλλὰ καὶ αὐτοῖς εὐχειρίστους κατέστησε τὰς ἀρχὰς καὶ τοῖς φιλοπράγμοσι τὴν λύσσαν ἐμέτρησε. γλίσχρον δὲ νομίσας, ⟨εἰ⟩ μὴ καὶ τὴν πολιαρχίαν ἀπαλλάξῃ μοχθημάτων οὐ μικρῶν, καὶ τοῦτο τὸν Τίτον ἐκμιμούμενος τὸν οὐρβανὸν πραίτορα τοῖς ἄρχουσι παρεισήγαγεν, ἀρκεῖν οἰόμενος τῷ πολιάρχῳ τὴν πάντα σοβοῦσαν τῷ δήμῳ διχόνοιαν· καὶ μετ' αὐτοὺς — μᾶλλον δὲ πρὸ αὐτῶν κατὰ τὴν ἀρχαιότητα, ὡς

v. 23 vide supra I 25

v. 1 ὡς ἔφθην εἰπών cum eis quae praecedunt iungit *O*, corr. *F* 2 ἐφόπτην *O*, corr. O_2 6 ρονεῖσι *O*, ἰονίσι corr. O_2, Ἰωνίσι *F* | νήσους *O*, corr. *F* 7 τὰς *O*, ἃς corr. *F* | ἀντὶ *O*, ἄρτι corr. *B* 9 τῷ add. O_2 12 κάθόλου coni. Gu. Kroll 14 τὴν addidi 18 εἰ addidi | πολυαρχίαν *O*, corr. *F* 19 ἀπαλλάξῃ *O*, ἀπαλλάξαι coni. *B* | μικρον *O*, corr. *F* | καὶ τοῦτο *O*, κἀν τούτῳ coni. *B* 22 τῶ δήμω *O*, τοῦ δήμου coni. *F*

προέφαμεν — τὸν λεγόμενον κυαισίτορα, ἀντὶ ⟨τοῦ⟩ τῶν βιωτικῶν ἐγκλημάτων ἐρευνάδα σεμνότατον.

Περὶ τοῦ Κωνσταντιανοῦ καὶ Ἰουστινιανοῦ πραίτορος καὶ τοῦ μαγίστρου τῶν κήνσων.

30. Ὥσπερ ἀρχέτυπον εἶδος ἡ μονάς, παράδειγμα δὲ μονάδος ἕν, οὕτως ἐν προοιμίοις ἡ καθ' ἡμᾶς εὐδαίμων πόλις τῆς τότε πᾶσαν ὑπεροχὴν ἐκβεβηκυίας Ῥώμης ἐνομίσθη. ὅθεν ὁ Κωνσταντῖνος οὐδαμοῦ πρὸ τῆς ἐπ' αὐτῇ κονσεκρατιῶνος — οὕτω δὲ τὴν ἀποθέωσιν Ῥωμαῖοι προσαγορεύουσι — Ῥώμην νέαν δείκνυται καλῶν, κάστρα δὲ καὶ αὐτὴν ἴσα ταῖς ἄλλαις τῶν χωρῶν· καὶ τούτων ἄν τις ἐπιστήσεται τοῖς ἐλέγχοις, εἰ ταῖς διαλέξεσι Κωνσταντίνου, ἃς αὐτὸς οἰκείᾳ φωνῇ γράψας ἀπολέλοιπεν, ἐντεύξηται. εἰκόνα τοίνυν καὶ στοχασμὸν ἀμυδροῦ παραδείγματος εἶναι κρίνων αὐτὴν πρὸς ἐκείνην, δύο πραίτορσιν ἀρκεσθῆναι συνεῖδε διὰ τὸ τῶν οἰκητόρων μέτριον καὶ τῶν πραγμάτων σμικρόν. ἐκ τῆς φάλαγγος οὖν τῶν ἐν τῇ Ῥώμῃ πραιτόρων τὸν τουτηλάριον ⟨καὶ τὸν φιδεϊκομμισσάριον⟩ προχειρίζεται, τὸν μὲν Κωνσταντιανόν, τὸν δὲ μάγιστρον τοῦ κήνσου ἐπιφημίσας, οἱονεὶ ἄρχοντα τῶν ἀρχετύπων συμβολαίων — ὅτι κῆνσον μὲν τὴν ἀπογραφὴν τῶν ἀρχαίων, ῥέγεστα δὲ ⟨τῶν πραττομένων⟩ λέγουσι —, καὶ σκρῖβαν μὲν ἐκείνῳ ἀντὶ τοῦ ὑπογραφέα,

v. 13 Hist. Rom. fragm. coll. H. Peter p. 364

v. 1 *τοῦ* add. *F*   2 *εκκληματων O*, corr. O_2 4 ΚΙΝCΩΝ cod., corr. O_2 14 *ἀπολελοιπεν O*, *καταλέλοιπεν* coni. *B* | *ἐντευξεται* coni. O_2 *B*   19 lacunam indicavit *F*, quam ex I 48 explere temptavi   23 *ἀρχαίων O*, *ἀρχείων* coni. B \ *τῶν πραττομένων* addidi e III 20

κηνσουᾶλες δὲ τούτῳ, ἀντὶ τοῦ ἀρχαιοφύλακας, ὑπηρετεῖσθαι διώρισε. τῆς δὲ ἡμετέρας Ῥώμης, καὶ νεμέσεως ἔξω, καὶ τὴν πρώτην τῆς δυνάμεως ἀποκρυπτούσης συνεῖδεν ὁ κράτιστος καὶ τῆς τοῦ οὐρβανοῦ πραίτορος δεῖσθαι παρόδου. προάγει τοίνυν [αὐτὸν] τῇ οἰκείᾳ σεμνύνων προσηγορίᾳ, ἅμα τῶν τοῦ δήμου παραπτωμάτων ἀψόμενος, ἅμα τὴν πολιαρχίαν φρ[οντί]δων ἀμετρίας ἐπικουφίσας ἐμφρόνως.

v. 1 *ἀρχαιοφύλακας O*, *ἀρχειοφύλακας* coni. *B* 7 *ἀψόμενον O*, corr. *F*

ΛΟΓΟΣ ΤΡΙΤΟΣ

1. *Τοῦ νόμου τῆς ἱστορίας, ὡς οἶμαι, τηρηθέντος καί, τὸ πρόσθεν ἐπηγγελμένον, τῶν πολιτικῶν ἀρχῶν διὰ τοῦ λόγου παρελθουσῶν, ἐπῆλθεν ἐμοὶ ἴδιόν τινα καὶ μονήρη [λόγον] περὶ τῆς μεγίστης τάξεως τῆς πρώτης τῶν ἀρχῶν ὑποθεῖναι τῇ ἱστορίᾳ, δι' οὗ ἄν τις ἀμυδρῶς ἐσοπτρίσαιτο τὴν πάλαι κρατήσασαν ἐν αὐτῇ λαμπρότητά τε καὶ [εὐ]ταξίαν· ἣν ἐγγὺς ἀπολομένην ὁ γενναῖος ἡμῶν βασι[λεὺς] οὐκ εἴασε παντελῶς ἀποσβεσθῆναι, συνέχει δὲ ὥσπερ καὶ σφίγγει διαρρέουσαν τῷ χρόνῳ τὴν ἀρχαιότητα. καὶ μεῖζον μέν ἐστι δι' αὐτοῦ ἤπερ ἄρτι καθεστήκει τὸ πολίτευμα, Λιβύης ἡμῖν ἀποδοθείσης — οὐ μικρὸν δὲ τὸ κτῆμα —, τῆς δὲ Εὐρώπης τὸ πλεῖστον — κοινωνεῖ γὰρ αὕτη τοῦ ζεφύρου, καθὸ τὸν εὖρον ὅλον δίδωσιν ἡ Ἀσία καὶ μόνη — καὶ αὐτῆς δὲ Ῥώμης, τῆς τῶν πραγμάτων μητρός, ἀπαλλαγείσης ἱδρῶτι τῆς βασιλείας δεσμῶν καὶ βαρβαρικῆς ἐξουσίας. πάντα δέ, ὅσα ἦν ποτε τῆς πολιτείας γνωρίσματα, μετὰ κρείττονος ἀποσώζεται δυναστείας· οἵ τε νόμοι θορύβων καὶ πολυφόρτου συγχύσεως ἀπηλλάγησαν, καὶ προφανές ἐστι τὸ δίκαιον, καὶ μεταμέλει τοῖς φιλοδίκοις τὸ πρὶν ἐναγρυπνῆσαι ταῖς φιλονεικίαις, μάχης οὐδεμιᾶς τὸ λοιπὸν διὰ τῆς τῶν*

v. 1 *λόγος·γ'. τοῦ νόμου O* 7 *εσοπτρον σο[ι τα] O*, corr. *F* 10 *συνειχοι O*, corr. O_2 14 *αὔτη O, αὕτη* corr. O_2, *αὐτῇ* coni. *F* 21 *προσφανες O, προφανὲς* coni. O_2*F* ep. p. 29 B 22 *φιλοδικαίοις O*, corr. *F*

νόμων καθαρότητος ὑπολιμπανομένης. καὶ κρείττων μὲν ἡ βασιλέως ἀρετὴ ἐπαίνου παντός· ἐμοὶ δὲ καὶ καιρὸς ἐπὶ τὸν σκοπὸν διαβῆναι τῷ λόγῳ.

2. Ἡ τοίνυν τῷ ἱππάρχῳ πειθαρχήσασα τάξις ποτὲ ἐν ὅπλοις μὲν ἦν ἅπασα· ὀνόματα δὲ αὐτῇ καθ' ὁμαλοῦ προμῶται, ὅπερ ὄνομα εἰς τέσσαρας τέμνεται λόγους, εἰς δουκινα[ρίο]υς, εἰς ⟨κεντιναρίους, εἰς⟩ κεντουρίωνας, εἰς βιάρχους· περὶ ὧν ἂν κατὰ [τὴν] τῶν τακτικῶν παράδοσιν ἀφηγησάμην, εἰ μὴ πόρ[ρω] τοῦ σκοποῦ παρωθούμην. καὶ ταύτης τῆς προσηγο[ρί]ας, τῆς τῶν προμωτῶν λέγω, ἔτι καὶ νῦν αἱ λεγόμεναι μά[τρι]κες — ἀντὶ τοῦ ἀπογραφαὶ τῶν καταλόγων — μνήμην [ἀνα]φέρουσιν. ἀπὸ ⟨δ'⟩ Αὐγούστου εἰς ἕτερον σχῆμα τῆς ἀρχῆς περιστάσης, ὡς πολλάκις εἴρηται, προσετέθησαν [οἱ] λεγόμενοι ἀδιούτορες, οἱονεὶ βοηθοί· καὶ ταύτης μόνης τῆς προσηγορίας μνημονεύουσιν αἱ παρὰ τῶν βασιλέων παρεχόμεναι τοῖς εἰς στρατείαν παριοῦσι προβατωρίαι, οἷον[εὶ] συστάσεις καὶ ἀποδείξεις — οὐδὲ γὰρ ἁπλῶς τὸ πρὶν ἄ⟦δε⟧ιαν εἶχεν ὁ βουλόμενος ζώνην περιθέσθαι οἱανοῦν, μὴ πρότερον ἀποδείξας, ὡς εἴη πρὸς αὐτὴν ἐπιτήδειος — προβᾶρε γὰρ τὸ μετὰ δοκιμῆς ἐπιδεῖξαι τὸ ὑποκείμενον λέγουσιν οἱ Ῥωμαῖοι. νῦν δὲ τὸ πλῆθος αὐτὰς ἐξ ἀμαθοῦς μαντείας τἀληθὲς παραδηλούσης πριβατωρίας καλεῖ, αὐτόθεν τὴν ἰδιώτου τύχην εἰσαγούσης. οὐδὲ γὰρ ἰδιώτου διαφέρουσιν οἱ μόνῃ προσηγορίᾳ στρατείαν οἱανοῦν ὑπερχόμενοι· οὐχ ὅτι τὰ πράγματα μὴ τὴν

v. 1 κρειττω *O*, corr. O_2 6 τέσσαρα *O*, corr. *F* | λόγους *O*, καταλόγους coni. *F* 7 κεντιναρίους, εἰς addidi e III 7 11 λογω *O*, λέγω corr. *F* 13 δ' add. *B* 17 παρ[ασ]χόμεναι *O*, corr. *B* | στρατιαν *O*, corr. O_2 19 ἀ..ιαν *O*, suppl. *F* 20 οἷα νῦν coni. Th. Preger 26 η *O*, οἱ corr. O_2 | αστρατειαν *O*, corr. O_2

κρείττονα καὶ καρπιμωτέραν εἴληχεν ὄψιν τῇ βασιλέως ἐμμελείᾳ, ἀλλ' ὅτι αὐτοὶ οὐκ εὐπρεπεῖς πρὸς τὰς λειτουργίας παρίασιν.

3. Κοινῇ μὲν οὖν ἅπασι τοῖς καταλόγοις ἐκ τῆς βασιλέως ὑποσημειώσεως ἀδιούτορες <ἦσαν> ἐπὶ τοῦ μετώπου τῆς παρατάξεως τὸ πάλαι ταττόμενοι· φησὶ γὰρ οὕτως· et <coll>ocare eum in legione prima adiutrice nostra, οἷον εἰπεῖν· 'καὶ τάξειας αὐτὸν ἐν τῷ πρώτῳ τάγματι τῷ βοηθοῦντι ἡμῖν.' ὅθεν ὁ πρωτεύων τοῦ παντὸς καταλόγου ἔτι καὶ νῦν κορνικουλάριος ἀναφέρεται, ἀντὶ τοῦ κερατίτης ἢ πρόμαχος. μέσος μὲν γὰρ ἦν τῆς στρατιᾶς ἐπὶ τῆς συμπλοκῆς ὁ μόναρχος, ἤγουν ὕπαρχος ἢ ὁ καῖ[σαρ]. τὸ δὲ ἰνπεράτορος ἐπώνυμον κοινὸν ἦν αὐτοῖς, ὡς ἔφην· οὐδὲ γὰρ μόνων τῶν βασιλέων ἐστίν, ἀλλ' ἀπολύτως τοῦ αὐτοκρατῶς διοικεῖν εἰληχότος τὸν πόλεμον. καὶ μέσος μὲν ἦν, [ὡς] εἴρηται, ὁ αὐτοκράτωρ, ὡς ὁ Φροντῖνος λέγει· ἐξ εὐωνύμ[ου] δὲ πλευρᾶς ὁ ἵππαρχος ἤγουν ὕπαρχος, ἐκ δὲ τῆς ἑτέ[ρας] οἱ πραίτορες καὶ ληγᾶτοι — ἀντὶ τοῦ στρατηγοὶ καὶ πρεσβευταί —, οὓς κατελίμπανον οἱ ὕπατοι ἀνθ' ἑαυτῶν ἤδη τοῦ τῆς ὑπατείας αὐτοῖς συντελουμένου χρόνου εἰς τὸ ἐφεστάναι τῷ στρατῷ ἄχρι τῆς τοῦ μέλλοντος ὑπάτου ἐπὶ τὸν πόλε-

v. 7 cf. cod. Iust. XII tit. 53, 3 14 vide supra I 4 17 Frontinus vide supra I 47

v. 5 ἦσαν addidi 7 ETEGAΓEEUMINLECIONEΠIIIIAAC-UTΓICENSTΠTA cod. | *colloca F*, *collocare* scripsi 10 κουρνικουλαριος, ut saepius, *O* 11 καιραΐτης *O*, κεράστης coni. *F*, corr. ep. p. 29 12 μονομαχος *O*, ὁ μόναρχος corr. *F*, ὁ ἵππαρχος coni. *F* ep. p. 30 15 αὐτοκράτορος *O*, corr. *F* 20 πρεσβυται *O*, corr. *B* 21 τὸ *O*, τοῦ corr. *F* 22 ἐφιστανααι *O*, corr. *B*

μον παρουσί[ας]. τῆς δὲ καλουμένης λεγιῶνος εἰς ἑξακισχιλίους τελούσης πεζομάχους τὸν ἀριθμόν — οὐσῶν δέκα μόνον τῶν πασῶν λεγιώνων ἀνέκαθεν, ἔξωθεν ἱππικῆς Ῥωμαϊκῆς καὶ αὐξιλιαρίας καὶ κοορταλίας καὶ τουρμαλίας καὶ τῶν λοιπῶν δυνάμεων, εἶτα δὲ καὶ ξενικῆς —, ὡς ἔφην, πρῶτος ἐτέτακτο ὁ κορνικουλάριος, καὶ διὰ τοῦτο προὔστηκεν ἔτι καὶ νῦν τῆς πάσης τάξεως, ⟨ἐπεὶ μηκέτι⟩ ἐπὶ τοὺς πολέμους ἀφικνεῖσθαι τὸν ὕπαρχον ἔδοξεν δι' οὓς εἰρήκαμεν λογισμούς.

4. Τῶν οὖν ἄλλων πάντων ἀδιουτόρων ὄντων, ὁ ὕπαρχος δι' οἰκείας ὑποσημειώσεως δίδωσι τῷ πρὸς τὴν στρατείαν ἐρχομένῳ εἰς ὃν αὐτὸς ἕλοιτο ταχθῆναι κατάλογον. αἱ δὲ προσηγορίαι τῶν πάντων καταλόγων τῆς τάξεως αὗται· ὁ κορνικουλάριος, πρῶτος τῇ τοῦ λεγομένου κόμιτος ἐμπρέπων λαμπρότητι, μήπω τὴν ζώνην ἀποθέμενος καὶ πρὸς τὴν ἀπὸ τῆς βασιλείας τιμὴν καὶ τὴν τῶν λεγομένων κωδικίλλων — ἀντὶ τοῦ δέλτων — ἐπίδοσιν ἀνελθών, οὐδενὶ τῶν ἐν ἄλλοις στρατεύμασι πρωτευόντων ταύτης τῆς προνομίας ὑπαρχούσης· μετὰ δὲ τὸν κορνικουλάριον πριμισκρίνιοι δύο, οὓς Ἕλληνες πρώτους τῆς τάξεως καλοῦσι· κομμενταρίσιοι δύο — οὕτω δὲ τοὺς ἐπὶ τῶν ὑπομνηματογράφων ταττομένους ὁ νόμος καλεῖ —, ῥεγενδάριοι

v. 6 vide I 46   9 cf. supra II 10 sq.

v. 3 *δὲ καὶ O*, *δέκα* coni. *F*   8 *ἐπεὶ μηκέτι* add. *B*   16 *λαμπροτησι O*, corr. O_2 18 *κου..δικιλλων* erasis duabus litteris *O*, *κω..δικελλων* O_2, corr. *F*   21 *προμισκρινιοι O*, corr. *F*   23 *ἐπὶ τῶν ὑπομνηματογράφων O*, *ἐπὶ τῶν ὑπομνημάτων* coni. *F*, *ἐπὶ τῇ τῶν ὑπομνημάτων γραφῇ B*   24 *πραττομένων O*, *πραττομένους F*, delet omnino *F* ep. p. 30, *ταττομένους* corr. *B*

δύο, οἱ τὸν δημόσιον δρόμον ἰθύνοντες· κοῦρα ἐπιστουλάρουμ Ποντικῆς δύο.

5. *Ἀλλ' ἴσως ἄν τις οὐκ ἔξω λόγου πύθοιτο τὴν αἰτίαν ἐπιζητῶν, τίνος χάριν πασῶν τῶν διοικήσεων ἐχουσῶν τοὺς καλουμένους κοῦρα ἐπιστουλάρουμ τὸ πόλεως σκρινίον τό τε τῶν ὅπλων καὶ τῶν ἔργων οὐκ εἴληχε; δηλονότι τὸ μὲν τῆς πόλεως εἰς τὴν Θρᾳκικὴν διοίκησιν ἀναφέρεται, τὸ δὲ τῶν ἔργων εἰς ἄλλας τυχὸν ἐπαρχίας ⟨ἐν αἷς⟩ συμβαίη τὰς ἀνανεώσεις γίνεσθαι τῶν ἔργων· ὅτι δὲ οὐ σφόδρα συνεχεῖς, ὑπὸ τῶν ⟨ἐν⟩ ταῖς διοικήσεσιν ἐκείναις κοῦρα ἐπιστουλάρουμ τὰ προστάγματα τῆς ἐπιδιδομένης ἀπὸ τοῦ δημοσίου δαπάνης γίνεται. τὸ γὰρ τῶν ὅπλων σκρινίον ὡρισμένας μὲν ἔχει τὰς ἀπὸ τῶν ἐπαρχιῶν συντελείας, νεῦρα λέγω καὶ κέρατα καὶ τὰ λοιπά, πρὸς δὲ τὰς ἀνακυπτούσας χρείας ἐν τοῖς πολέμοις ὑπουργεῖ τοῖς προστάγμασιν.*

6. *Πολλῆς δὲ οὔσης ⟨καὶ⟩ ὑπὲρ ἀριθμὸν τῆς τῶν ταχυγράφων πληθύος καὶ οὐ μικρὰς ἐχούσης ἀφορμὰς ἐπὶ κέρδους ἐργασίας, οἱ τούτων καὶ λογικώτεροι καὶ πρὸς τὴν ὑπηρεσίαν ἀρκοῦντες ἐν πεντεκαίδεκα συναγωγαῖς, ἃς καλοῦσι σχολάς, συλλεγόμενοι, οἱ τὴν οὖσαν αὐτοῖς πεῖραν τοῖς πράγμασιν ἐπιδειξάμενοι ἐπὶ τὸ τάγμα τῶν Αὐγουσταλίων, εἴγε ἄρα θέλωσι, παρίασι καὶ εἰς τὸ τοῦ κορνικουλαρίου πλήρωμα καταντῶσι, μετὰ μέντοι τὴν λεγομένην βοηθοῦραν· οἱ μένοντες ἐπὶ τῆς δέλτου εἰς τὸ τοῦ πριμισκρινίου ἀναφέρονται πλήρωμα.*

7. *Καὶ περὶ μὲν τούτου ἀκριβέστερον οὕτω πως*

v. 3 *πιθοιτο O*, corr. O_2 9 *ἐν αἷς* add. *F* 11 *ἐν* add. *B* 17 *καὶ* add. *B* e III 14 18 *πληθους O*, corr. O_2 19 *τη O*, *οἱ* corr. *B* 23 *ειτε O*, *εἴγε* corr. O_2 | *θέλουσι* coni. O_2 27 post *εἴρηται* (p. 92, 1) paragraphos distinxit F \ δν τοπως O, *ἐντόπως* coni. *F*, *οὕτω πως* scripsi

εἴρηται· μετὰ δὲ τοὺς ἐπὶ ταῖς λογικαῖς λειτουργίαις τεταγμένους εἰσὶν οἱ λεγόμενοι σιγγουλάριοι, ἄνδρες ἐντρεχεῖς, ἐπὶ τὰς ἐπαρχίας δημοσίων ἕνεκα χρειῶν ἀποστελλόμενοι· ὧν ἀνέκαθεν τὰς ἀναγκαιοτάτας καὶ εἰς αὐτὴν συντελούσας τὴν ὅλην πολιτείαν χρείας ἐγχειριζομένων παρεισέδυ τῆς ἐπαρχότητος ἤδη μαραινομένης ἡ τῶν λεγομένων μαγιστριανῶν κομποφακελορρημοσύνη. σιγγουλαρίους δὲ τοὺς εἰρημένους καλεῖ[σθαι] συμβέβηκεν ἐκ τοῦ ἑνὶ βεραίδῳ χρωμένους ἤγ[ουν ἑ]νὶ δηλονότι παρίππῳ ἐπὶ τὰς ἐπαρχίας ὁρμᾶν· σ[ιγγ]ουλάριον γὰρ τὸν μονήρη Ἰταλοῖς ἔθος καλεῖν. μεθ' οὓς μάγκιπες οἱ τοῦ δημώδους καὶ ἀνδραποδώδους ἄρτου δημιουργοί· ὑφ' οἷς ἀρτοποιοὶ καὶ οἱ λεγόμενοι καθολικῶς συστήματα διαψηφιστῶν, οἳ πᾶσι τοῖς ὁπωσοῦν σίτησιν δημοσίαν ἔχειν ἠξιωμένοις ὑπακούουσι· καὶ Ῥ[ωμ]αῖ[οι] μὲν αὐτοὺς ῥατιωναλίους καλοῦσιν, ὅτι κατ' αὐτοὺς ῥατιῶνες οἱ λογισμοὶ λέγονται, οἱ δὲ Ἕλληνες καθολικ[οὺς] μετωνόμασαν ἐκ τῆς καθόλου περὶ τοὺς δημοσίους λογισμοὺς ἀγρυπνίας. ἔνθεν σιτῶναι, οὓς Βίκτωρ ὁ ἱστορικὸς ἐν τῇ ἱστορίᾳ τῶν ἐμφυλίων φρουμενταρίους οἶδε τὸ πρὶν ὀνομασθῆναι, ὅτι τῆς τοῦ παλατίου εὐθηνίας τὸ πρὶν ἐφρόντιζον. Ῥουφίνου δὲ τηνικαῦτα τὴν ὕπαρχον ἀρχὴν τυραννίδι κρημνίσαντος καὶ αὐτοὶ παραπώλοντο. τελευταῖοι πάντων οἱ τὸ πρὶν πρωτεύοντες, οἷα τὴν τοῦ

v. 20 Aur. Vict. Caes. XXXIX

v. 7 *κομποφακελλορημοσύνη* *O*, corr. *F* 9 *βερέδω* *O*, *παραβεραίδῳ* coni. *F* ep. p. 30 10 *ἑ]νοι* *O*, *ἑ]νὸς* coni. O_2, *ἑνὶ* corr. *F* ep. p. 30 | *παρίππου* *O*, *παρίππῳ* corr. *F* ep. p. 30 | *ὁρᾶν* *O*, *ὁρμᾶν* corr. *F* 20 *σιτονας οσου ϊκτωρ* *O*, corr. *F* | *Οὐΐκτωρ* *F*, *Βίκτωρ* scripsi 24 *τελευταῖον* *O*, corr. *F*

ἱππάρχου κατ' ἀρχὰς πληροῦντες θεραπείαν, δουκινάριοι καὶ βίαρχοι καὶ κεντινάριοι καὶ κεντουρίωνες· ὧν πάντων τὰς Ἑλληνικὰς σημασίας προαποδεδώκαμεν· ὅτι δὲ τῆς τοῦ ἱππάρχου ἐτύγχανον τάξεως, γνῶναι δυνατὸν διὰ τῶν ἐπ' αὐτοῖς ἐκ τῆς αὐλῆς προφερομένων κωδικίλλων, οἳ περὶ ἀξιωμάτων τινῶν καὶ οὐ περὶ αὐτῶν διαγορεύουσιν.

8. *Τοιαῦται μὲν καὶ τοσαῦται τομαὶ τῶν καταλόγων τῆς ἀρχῆς. κούρσορες γάρ, οἱονεὶ ταχυδρόμοι, τὴν τῆς στρατείας ἀπαλλαγὴν ἐπὶ τῆς αὐλῆς εὑρίσκουσιν· ἀπλικιτάριοί γε μὴν καὶ κλαβικουλάριοι, ὧν οἱ μὲν τοὺς ῥαβδούχους μόνον τοὺς συλλαμβάνοντας τοὺς ἐγκλημάτων ἕνεκα πιεζομένους, οἱ δὲ τοὺς δεσμὰ περιτιθεμένους αὐτοῖς διασημαίνουσι, λειτουργιῶν — οὐ μὴν στρατείας καὶ βαθμοῦ — πέρας ⟦περιέμ⟧ενον, ὧν εἰσὶ δεικτικοί· ὑπασπίζουσι γὰρ τοῖς [κομμ]ενταρισίοις, οὓς ὑπομνηματογράφους ἡ τάξις Ῥ[ωμαίω]ν ὠνόμασεν, ὡς ἔφαμεν. ὃν γὰρ τρόπον οἱ νωμεν[κλ]άτορες φρόντισμα πληροῦσι καὶ τοὺς ῥήτορας ⟦ἀπο⟧λέγουσιν ἐξ ὀνόματος ἀναφωνοῦντες αὐτούς, οὕ[τως ἐ]κεῖνοι ταῖς ἐγκληματικαῖς ὑπηρετοῦνται δίκαις. ⟦οἱ δὲ⟧ νωμενκλάτορες, ὥς φησιν ὁ Αἰμίλιος ἐν τῷ ὑ⟦πομνή⟧ματι τῶν Σαλλουστίου ἱστοριῶν, ὀνομασταὶ καὶ*

v. 3 in eis quae perierunt I 48   18 vide III 4   23 Sallustii hist. I frg. 48 Maurenbrecher

v. 2 *ἢ κεντουρίωνες* coni. *F*   3 *πάντας O*, *πάσας* coni. O_2, *πάντων* corr. *F* | *προαπεδεδώκαμεν O*, corr. O_2 4 *γνῶμαι O*, corr. O_2 6 *κωδικέλλων O*, mutavit O_2; *ἐν κωδικίλλοις* coni. *F*   11 *καβικουλάριοι O*, corr. *F* ep. p. 31   13 *εκκλημάτων O*, corr. O_2 14 *λειτουργίας O*, corr. *F*   15 *πέρας . . . . . ένον ων O*, quod explere temptavi; *πέρας ἀναδεξαμένων* coni. *B*   17 *τοὺς O*, *οὓς* corr. *F*   19 *. . . λέγουσιν O*, expl. *F*   21 *δίκαις . . . . O*, suppl. *F*   22 *νωμενκυλατωρες O*, mutavit F \ *υ . . . ματι O*, suppl. *F*

ἀνα[[φω]]νῆται τῶν τογάτων — ἀντὶ τοῦ τῶν δικολόγων — εἰσίν. τογάτους δὲ Ῥωμαῖοι τοὺς μὴ στρατευομένους καλοῦσι, φαινόλας δὲ περικειμένους, καὶ τοῖς λέγουσι τὰς δίκας μισθῷ συναγορεύοντας· ἐπὶ γὰρ τῆς ἀγορᾶς αὐτοὺς καὶ περὶ τὰ βιβλία σχολάζοντας καὶ ταῖς νομικαῖς δυσκολίαις ἀγρυπνοῦντας οἱ τὰς δίκας λέγοντες ἐπὶ τοὺς πεδανέους — ἀντὶ τοῦ χαμαιδικαστάς — περὶ τὸν καιρὸν τῆς διαγνώσεως ἐκάλουν πρὸς συνηγορίαν. ταύτῃ καὶ advocati, *οἱονεὶ προσκαλούμενοι, ἔτι καὶ νῦν λέγονται. τουρμαρίους γὰρ ἔτι φθάσας ἐγὼ διαμέμνημαι παρόντας τῷ σκρινίῳ τῶν σουβαδιούβων καὶ ταῖς κομπλητίωσι τῶν ἐντυχιῶν — οἱονεὶ πληρώσεσι — προσλειτουργοῦντας καὶ παραψυχὴν οὐ μικρὰν ἀναλεγομένους· τοσαύτη τις ἦν ἡ τῶν πραττομένων κάρπιμος ἀφθονία. διαιτάριοι πρὸς τούτοις καὶ θηκοφόροι καὶ πραίκωνες λειτουργίας μὲν ἀναδέχονται, ἐν δὲ ἑτέροις τάγμασιν ἀναφέρονται.*

Περὶ τῶν ταχυγράφων καὶ Αὐγουσταλίων.

9. *Εἴρηται πρόσθεν, ἓν μὲν ἀνέκαθεν [εἶ]ναι τὸ τῶν [ταχυγράφων] σῶμα, εἰς δύο δὲ τάγματα διῃρῆσθαι καὶ πληρώμα[τα]. οἱ μὲν γὰρ αὐτῶν ἐπὶ τῆς δέλτου μένοντες τὸν [χρ]όνον διώκουσι καὶ εἰς τὸ τοῦ πριμισκρινίου παρ[ία]σιν πλήρωμα, οἱ δὲ εἰς τὸ τῶν Αὐγουσταλίων τάγμα μεθιστάμενοι καὶ θᾶττον τὴν*

v. 19 supra III 6

v. 1 *ανα..νηται O*, suppl. *F* 6 *δυσκαλιαις O*, corr. *F* 9 *συνηγορίαν ταύτην O*, corr. *F* | ΑdUOCΑΤΙ cod. 12 *κομπλατιωσι O*, *κομπλετίωσι* corr. *F*, *κομπλητίωσι* scripsi 16 *πρεκονες O*, corr. *F* 17 *ενδεδ' ἕτεροις O*, corr. O_2 20 *διειρησθαι O*, corr. *F* 22 *τὸν χρ......όνον O*, in lacuna *χρόνον* videtur iteratum fuisse

στρατείαν πληροῦντες παρὰ τοὺς ταχυγράφους εἰς τὸ τοῦ κορνικουλαρίου κα[ταντ]ῶσιν ἀξίωμα. ὅπως δὲ μὴ καὶ τοὺς ἔξωθεν λάθη τὰ ⟦τῆς⟧ διαιρέσεως — καὶ γὰρ ὁσημέραι ἀγνοοῦντες ⟦μάτην ζητοῦ⟧σιν οἱ πολλοὶ πρὸς τὰς εἰρημένας προσηγορίας ταρ⟦ατ⟧τόμενοι — τὴν αἰτίαν τῆς εἰς δύο τοῦ ἑνὸς σώματος τομῆς ὑποδείξω τῷ λόγῳ. οἱ ταχυγράφοι πολλῶν ἐ⟦τῶν δέ⟧ονται, καθάπερ οἱ τριβοῦνοι, πρὸς τὸ διανύσαι τὴν στρατείαν· καὶ γὰρ εἰς πλῆθός εἰσιν ὥσπερ ἐκεῖνοι. εἴ τι δὲ τυχὸν ὁ χρόνος αὐτοὺς ἐπὶ τὸ πέρας τῶν πόνων καλεῖ, γήρᾳ κάμνουσι πάντως πρὸς καμάτους ἀχρήστῳ. εἰκὸς οὖν οὐκ ἀρκοῦντες πρὸς τὰς τῶν ἀνωτέρων βαθμῶν λειτουργίας, πρὸς ἃς μ[ό]γις οἱ νεότητι σώματος καὶ πείρᾳ πραγμάτων ὠχυρωμένοι κινδύνων ἔξω διαρκοῦσι, δέονται βοηθῶν. καὶ ἀνέκαθεν μὲν ἕκαστος τρεῖς ἄνδρας τοὺς πάντα ἀρίστους ἐκ τῶν ταχυγράφων ἐπελέγετο — οὐδὲ γὰρ ἐξῆν ⟨εἰ⟩ μὴ τοὺς πείρᾳ τε καὶ λόγοις κοσμουμένους τὴν λειτουργίαν τοῦ δικαστηρίου πληροῦν —, νῦν δὲ τὰ μὲν τῆς ἐπιλογῆς οἴχεται, ὁ δὲ ἀριθμὸς ἔτι καὶ νῦν σώζεται. ἔνθεν ἓξ βοηθοὺς παρεῖναι συμβαίνει τῷ τε ⟨τοῦ ἀβ ἄκτις⟩ σκρινίῳ τῷ τε ⟨τοῦ⟩ κομμενταρισίου καὶ τῷ τοῦ πριμισκρινίου· ἐπειδήπερ, ὡς προδεδήλωται, ἀνὰ δύο ἐπ' ἔτος ἕκαστον ἐκ τῶν ταχυγράφων τῆς ζώνης ὁ νόμος ἀπαλλάττει. καὶ τίς οὐκ ἂν στοχάσηται πρὸς τὸ [πλῆθος] τῶν βοηθούντων ἀφορῶν τὴν τοῦ δικαστη[ρίου μεγαλ]ειότητα, καὶ τὴν

v. 23 in eis quae perierunt I 48

v. 1 *καὶ εἰς O*, *καὶ* del. *F*   3—7 lacunas explevit *F*   6 *ὑποδείξη O*, corr. O_2 10 *αὐτοῖς O*, corr. *F* | *περὶ τὸ O*, *ἐπὶ τὸ* corr. *B*   11 *εἰκῶς O*, *εἰκός* O_2, *εἰκότως* coni. *B*   17 *εἰ* add. Gu. Kroll   21 *τῶ τε σκρινίου τῷ τε κομμενταρισίου O*, corr. *F*

τῶν ἐν αὐτῷ πραττομέν[ων τὸ πρὶν ἀ]πειρίαν; ἐπὶ δὲ τοῦ παρόντος, πραγμά[των μὲν μὴ ὄ]ντων τοῖς ὑπηκόοις, καλεῖ πρὸς τὴν ἀρχὴν ⟦*οὐδέν, δικασ*⟧*τῶν ἀπανταχῇ συρρεόντων, τῶν δὲ* ⟦*μαγιστρι*⟧*ανῶν ἴσως καθ' αὐθεντίαν — μετὰ συγγνώμης εἰρήσθω· καὶ γὰρ λόγων εἰσὶν ἐρασταί — ἐπὶ δικαστὰς ἑτέρους καὶ θυμήρεις τοῖς πράττουσι τὰς δίκας διὰ τῶν λεγομένων θείων κελεύσεων ἀπαγόντων.*

10. *Κερδῶν δὲ οὐ σμικρῶν [τὸ π]ρὶν ἐπ' εἰρήνης καὶ τιμῆς ἐξοχωτάτης μετὰ δυνάμεως ἰσχυρᾶς περιγινομένων τοῖς τῶν εἰρημένων σκρινίων βοηθοῖς, εἰκὸς ἦν ἐμφορου[μέν]ους αὐτοὺς ἀπαξιοῦν, αὖθις ἐπὶ τὴν δέλ[τον καὶ] τὴν ἐξ ἀκερδείας ἐπιείκειαν ἀναστρέφειν. ἔνθεν ἐκ δεήσεως αὐτῶν νόμος πρὸς Ἀρκαδίου τίθεται θεσπίζων, ἰδιάζον καὶ πάντῃ κεχωρισμένον σύστημα τριάκοντα τὸν ἀριθμὸν ἀνδρῶν ἤδη πρότερον ἐν τῷ βοηθεῖν διαφαινομένων συστῆσαι τὴν ἐπαρχότητα πρὸς ὑπηρεσίαν ἑαυτῇ. οὐδὲ γὰρ εὐχερὲς ἦν τὸ τηνικαῦτα, τῶν βασιλέων ἅμα τῇ βουλῇ δίκας ἀκροωμένων, τοὺς πάντας ἄριστα ὑπηρετεῖν· ὥστε καὶ πεντεκαίδεκα ἐξ αὐτῶν τῶν πεπανωτέρων, πείρᾳ τε καὶ τῷ χρόνῳ κρειττόνων πρὸς ὑπογραφὴν τοῖς βασιλεῦσιν ἀφορισθῆναι, οὓς ἔτι καὶ νῦν δηπουτάτους καλοῦσιν, οἳ τοῦ τάγματος τῶν Αὐγουσταλίων πρωτεύουσιν· οὔπω γὰρ ἦν τὸ τῶν ἄρτι παραφυέντων ἀ σηκρῆτις ὄνομα, μετρίων σφόδρα τῶν χρηματικῶν ζητήσεων οὐσῶν, τῶν μὲν*

v. 1 *ἀπορίαν O*, corr. *F* 3 *καλὸν O*, *καλῶν* coni. *F*, *καλεῖ* temptavi | *ἀρχὴν* .... *τῶν O*, quod explevi 4 *δὲ* .... *αλιων O*, *δὲ μαγιστριανῶν* scripsi coll. III 7 et 24; *δὲ βασιλέων* coni. *B* 6 *δικας τας ετερο.ς O*, corr. *F* 15 *ἰδιάζων O*, corr. *F* 19 *τοὺς πάντας O*, *τοῖς πάντα* coni. *F* 20 *ἀρίστους O*, *ἀρίστοις* coni. *F*, *ἄριστα* scripsi 22 *υπογραφειν O*, corr. O_2

ἔμπροσθεν βασιλέων ἐπὶ τοὺς πολέμους ὁρμώντων καὶ τῶν τὰς ἐπαρχίας ἰθυνόντων τοῖς νόμοις, ἀλλ' οὐ ταῖς κλοπαῖς προσαγρυπνούντων. τῷ δὲ συστήματι τῶν εἰρημένων τριάκοντα ἀνδρῶν τὴν τῶν Αὐγουσταλίων ὁ νόμος ἔθετο προσηγορίαν, οὐ καινὴν οὐδὲ πρόσφατον, τὴν δὲ τοῦ πρώτου τῶν βασιλέων ὀνομασίαν ἀνακαλεσάμενος, ⟨ὅς⟩, ὡς πολλάκις ἔφαμεν, πρῶτος τὴν ἐπαρχότητα συστησάμενος τῶν πραιτωρίων τοὺς ὑπ' αὐτῇ τελοῦντας Αὐγουσταλίους ἐκ τῆς οἰκείας προσηγορίας καλεῖσθαι διώρισεν.

Περὶ τῶν πριμισκρινίων καὶ τῆς ἀρχαίας τῶν χαρτῶν ἐκδόσεως.

11. Τῶν πλείστων, τάχα δὲ πάντων τῶν ἰχνῶν ἀπαλιφέντων τῆς ἔμφρονος παλαιότητος, οὐκ ἔξω δακρύων τις διατελῶν ὑπομένοι, γινώσκων ἐκ τῶν ὑποκειμένων, ὅπως ἀντείχετο ⟨τὸ⟩ πρὶν ὁ νόμος τῆς τῶν ὑπηκόων ἐλευθερίας, καὶ ὅσων κατὰ σμικρὸν ἀγαθῶν ἐκ τῆς τῶν ἀρχομένων κακοδαιμονίας ὁ καθ' ἡμᾶς χρόνος ἐξέπεσεν. ἔθος ἀρχαῖον ἦν, μηδὲν ἔξωθεν πράττεσθαι τοῦ τῆς δίκης ἱεροῦ — ὃ καλεῖται σήκρητον, οἱονεὶ ἀτάραχον καὶ σιγῇ σεμνόν, καὶ ὁποῖον οὐκέτι ⟨ἔστι⟩ κατ' οὐδένα τρόπον —, ὅπως μή τι πρὸς ὕβρεως ἢ βλάβης τῶν συντελῶν ἁμαρτηθείη· μετὰ δὲ τὴν ἔνθεσμον τῶν ψήφων ἀπόφασιν νόμος ἦν τοὺς συνεδρεύον-

v. 7 vide II 6 al.

v. 7 ὅς addidi | ὁ πρῶτος O, ὃς πρῶτος coni. *F*, ὁ delevi 14 ἀπαλοιφέντων O, ἀπολειφθέντων corr. O_2, ἀπαλιφέντων *B* 15 διατελεῖν coni. *F* | ὑπομειμοι O, corr. *F* 16 ἂν τηχετο O, corr. O_2 | τὸ add. Gu. Kroll 21 οὐκετι O, οὐκ ἔστι coni. *B*, οὐκέτι ἔστι scripsi; καὶ ὃ πτοεῖν οὐκ ἔστι coni. Gu. Kroll 24 καὶ O, ἦν scripsi

τας τῇ ἀρχῇ, ἄνδρας νομικωτάτους, ἀναγινώσκοντας πρῶτον τὰς ψήφους καὶ ὑποτάττοντας τῷ λεγομένῳ σχεδαρίῳ, τὸ παρ' Ἰταλοῖς καλούμενον ῥεκιτᾶτον — ἀντὶ τοῦ ἀντιβολήν — διδόναι πρὸς ὑπογραφὴν τῆς ἀρχῆς τοῖς εἰς τοῦτο τεταγμένοις — καγκελλαρίους αὐτοὺς ἐν τοῖς δικαστηρίοις ἐπιφημίζουσι· περὶ ὧν πρὸς πέρας ἐρῶ —, εἶτα ἐκεῖθεν πρὸς τῶν σηκρηταρίων ἐμμελῶς ἀ[να]γινωσκομένου τοῦ λεγομένου καθαροῦ οὕτω τε ἀπολυομένου τῷ λιτιγάτορί — οἱονεὶ δίκης ἕνεκα παραφυλάττοντι —, σύνοψιν ὁ σηκρητάριος ἐποιεῖτο τῆς τοῦ πεπραγμένου δυνάμεως τοῖς Ἰταλῶν ῥήμασι, καὶ ταύτην ἐτήρει παρ' ἑαυτῷ πρὸς κώλυμα τολμηρᾶς προσθήκης ἢ ὑφαιρέσεως. οὗ δὴ γενομένου λαβὼν ὁ πράξας καὶ τῆς ἀκριβείας θαυμάσας τὸ δικαστήριον παρῄει πρὸς τοὺς πριμισκρινίους τάξοντας ἐκβιβαστὴν τοῖς ἀποπεφασμένοις· οἱ δὲ διὰ τῶν βοηθεῖν αὐτοῖς τεταγμένων, ἀνδρῶν καὶ διδασκάλοις αὐτοῖς πράγματα περὶ λόγων ζητήσεις παρ[εχ]όντων, ἐπλήρουν, ἐπὶ τοῦ νώτου τῆς ἐντυχίας γράμμασιν αἰδοῦς αὐτόθεν ἁπάσης καὶ ἐξουσίας ὄγκῳ σεσοβημένοις πρὸς τὴν προσηγορίαν τοῦ πληρωτοῦ προσγράφοντες.

12. Ἐμοὶ δὲ δακρύειν ἐπέρχεται τὴν τοῦ νόμου

v. 7 vide infra III 36

v. 3 *σχηδαριω O*, corr. O_2 | *τω O*, *τὸ* corr. *F* | *καλούμενον O*, *καλουμένῳ* coni. O_2 et Reuvens coll. litt. p. 53[2] | *ῥέκινον O*, *ῥεκίνῳ* coni. Reuvens l. s., qui in sequentibus *ἀποκρύπτειν καὶ* excidisse censet; *πέρικλον* Cramer (apud *F* ep. p. 32) et Th. Mommsen, *Röm. Strafrecht* p. 517[2], *requisitum F* ep. p. 32; *ῥεκιτᾶτον* temptavi, ut est v. 1 *ἀναγινώσκοντας* 5 *καγκελλαριους O*, mutavit O_2 13 *οὐδη O*, corr. O_2 15 *παρίει O*, corr. O_2 | *ταξαντας O*, *τάξοντας* coni. *F* ep. p. 33 et *B* 16 *διὰ τὸ O*, *διὰ τῶν* corr. *F* 18 *ἐπλήρου O*, corr. *F* 19 *νότου O*, corr. *F* 20 *σεσοβημένος O*, corr. *F*

συνιδόντι δύναμιν καὶ ὅπως πάσης ἡμᾶς ἀρετῆς ἀφείλετο κατα[ξέων] ὁ δαίμων. ὑποπτεύων γὰρ ὁ νόμος, καὶ οὐκ ἔξω λόγου, τῶν ποριζομένων τὰς ψήφους πρὸς τοὺς πληρωτὰς αὐτῶν τὰς καθ' ὧν προσφέροιντο αὐθάδεις ὁμονοίας, αὐστηροῖς καὶ ποινὰς ἀπειλοῦσι ῥήμασι παραγγέλλεσθαι διώρισε πρὸς τῶν ὑπηρετουμένων τῇ δίκῃ τοὺς ἐγχειριζομένους, καὶ ταὐτὰ γράφεσθαι πρὸς ἐντροπὴν τῶν πάντα τολμώντων ἐν ταῖς ἐπαρχίαις ἐκβιβαστῶν. ἐπιτρέπων γὰρ ὥσπερ ὁ βοηθὸς τοῖς πρωτεύουσι τοῦ τάγματος, ἐν ᾧ συνέβαινε καταλέγεσθαι τὸν ἐπὶ τὴν πλήρωσιν τῶν ψήφων στελλόμενον, τούτοις γράφων ἐχρῆτο τοῖς ῥήμασιν· Facite ...

ὡς ἄν τις καθ' ἑρμηνείαν εἴποι· ‘πρὸς τοὺς πρωτεύοντας’ — ὡς ἔφην, τοῦ καταλόγου, ἐν ᾧ τελεῖ τυχὸν ὁ τὰς ψήφους ἐγχειριζόμενος — ‘ὥστε μὴ περὶ τὸν βαθμὸν ἑαυτοῦ ἐξ ἀπολείψεως βλάβην ὑποστῆναι, ἀφορίσατε τόνδε ἐκ τάξεως ἀπὸ τῆς παρούσης ἡμέρας ἄχρι τῆσδε, ὑπατείας τοῦδε, εἰ μέντοι ἐστὶ τῆς ὀρθοδόξου πίστεως τοῖς θείοις μεμυημένος μυστηρίοις καὶ μὴ δημοσίοις τελέσμασιν ὑπεύθυνός ἐστι, μηδὲ πρὸς γένος συνάπτεται τῷ τὴν αἴτησιν ἀποθεμένῳ, μηδὲ μὴν ἐπὶ τοῦ παρελθόντος ἐνιαυτοῦ ἐνεχειρίσθη ἐπὶ

v. 1 *συνιόντι O*, *συνορῶντι* coni. B, *συνιδόντι* scripsi 2 *κατα[ξων] O*, corr. Th. Preger 3 *τὴν τῶν O*, *τὴν* delevi 4 *αὐτῶν O*, *ἢ αὐτῶν* volebat *F* | *προφέροιντο* coni. *F* ep. p. 33 6 *παραγγελεσθαι O*, corr. O_2 7 *ταυτα O*, *ταῦτα F*, *ταὐτὰ* scripsi 12 *τούτοις γὰρ γράφων O*, *γὰρ* delevi | post *ῥήμασιν* in codice legebantur Latina adiutoris verba per septem versus digesta, sed ad finem non perscripta et data opera erasa. hodie nihil dispicitur nisi v. 1 in. FACITE..UICATUMLU.., v. 2 in. POΓA.., v. 4 med. NECΠ.UN.ATU.., v. 7 extr. AGTOΓ.... NON 16 *απολημψεως O*, corr. O_2 21 *γενος O*, *γένους* coni. *B*, sed vide infra III 58 22 ἐνεχρίσθη O, corr. O_2

[τῆς] αὐτῆς ἐπαρχίας δημοσίας ἕνεκεν ἢ ἰδιωτικῆς χρείας· οὕτω μέντοι, ὥστε μὴ παραβῆναι τὴν δύναμιν τῶν νε[νομο]θετημένων.' τούτοις μὲν τοῖς ῥήμασιν ὁ βοηθὸς τοῦ πριμισκρινίου τοὺς πραττομένους κατησφαλίζετο πάντας· μεθ' ὃν ὁ πρίγκεψ, οἷον ὁ πρωτεύων — περὶ οὗ τέως εἰ[πεῖν] οὐ καιρός· οὐδὲ γὰρ μέρος τῆς τάξεώς ἐστι καὶ αὐτός, ἀπὸ δὲ τῶν μαγιστριανῶν κατὰ βαθμὸν παραγίνεται ἐπὶ τὰ μέγιστά ποτε δικαστήρια· καὶ μικρὸν ὕστερον τὴν ἐπ' αὐτῷ ἱστορίαν ἐκθήσομαι —, μεθ' οὓς ὁ κορνικουλάριος, οἷα [τὴν] ὅλην τοῦ νόμου δύναμιν διατηρῶν καὶ τῶν πραττομένων ἁπάντων κύριος, δι' οἰκείας ὑποσημειώσεως τὴν ὀφρὺν ἐδίδου τοῖς ἀποπεφασμένοις.

13. *Τοσαῦτα δὲ ἦν τὰ τότε πραττόμενα, ὡς δεκάτῳ τόμῳ μόγις ἀναλαμβάνεσθαι πρὸς σύνοψιν. καὶ τί χαλεπὸν ἐμβραδῦναι τῷ λόγῳ πρὸς ἀπόδειξιν τοῦ προκειμένου; τοσοῦτον ἦν τὸ πλῆθος τῶν πραττομένων, ὡς ὅλον τὸ ἔτος μὴ ἀρκεῖν τοὺς βοηθοῦντας πρὸς πλήρωσιν αὐτῶν, ὥστε μετὰ τὸ πέρας τῆς λεγομένης βοηθούρας ἔχειν χῶρον ἀπονενεμημένον αὐτοῖς ἐπὶ τῆς μέσης εἰσόδου τῆς πραιτωρίας αὐλῆς πρὸς τοῦ σκρινίου τῆς Εὐρώπης, ἐν ᾧ συντρέχοντες ἐπλήρουν τὰ ἐπὶ τῆς αὐτῶν λειτουργίας πραχθέντα. καὶ αὐτοὶ [μὲν ο]ἱ ἄρτι τοῦ βοηθεῖν τοῖς τρέχουσι σκρινίοις πεπαυμένοι τούτοις ἐνησχολοῦντο, παραψυχὴν οὐ μι-*

v. 9 vide infra III 23

v. 1 *ἕνεκεν ηδιωτικῆς O*, corr. *F* 3 *[νομο]θετημένων O*, mutavit *F* 7 *αὐτὸς αὐτὸς δὲ O*, *αὐτός, ἀπὸ δὲ* corr. *B* | *καταβαθμων O*, corr. *F* 10 *κουρνηκουλαριους O*, corr. *F* 15 *συνάψιν O*, corr. *F* 16 *ενβραδυναι O*, corr. O_2 22 *ἐν ῇ O*, *ἐν ᾧ* corr. *F*

κρὰν κερδῶν ἐκλεγόμενοι· οἱ δὲ πρὸ αὐτῶν καὶ ἤδη πρότερον σχολάζοντες ἐκεῖ συνέρρεον, τὰς μεγίστας καὶ λαμπρὰς τῶν τῆς ἀρχῆς προστάξεων ἐγχειριζόμενοι καὶ ὅσαις ἕτερός τις πέρας οὐκ ἴσχυσεν ἐπιθεῖναι, μηδὲ τὸν τῆς ἀργίας καιρὸν ἔρημον λογικῶν ζητημάτων ἀπολαμβάνοντες, τῶν ἐνδόξων ἐν διδασκάλοις λόγων συντρεχόντων ὡς αὐτοὺς καὶ περὶ τῶν ἀγνοουμένων συζητούντων. ἀπέσβη δὲ οὕτως ἅπαντα, ὡς τοῦ τόπου τὸ λοιπὸν σχολάζοντος τοὺς λεγομένους ἐκσκεπταρίους — οἱονεὶ ὑποδέκτας τοῦ σίτου — κατασχεῖν τὸ σκρινίον τῶν πάλαι θαυμαζομένων ἀφανισθέντων.

14. Πολλῶν δὲ ⟨ὄντων⟩ καὶ ὑπὲρ ἀριθμὸν τῶν ἐξολωλότων τῆς πάλαι σεμνότητος γνωρισμάτων, καὶ χάρτην ἀπαιτεῖν οἱ τῆς τάξεως ὑπομένουσι τοὺς πράττοντας, τὸ πρὶν εἰωθός, μὴ μόνον μὴ τοιούτοις γλίσχροις ἐγχειρεῖν, ἀλλ' ἔτι καὶ τοὺς πάντων διειδεστάτους χάρτας ἐπὶ τοῖς πραττομένοις ἀναλίσκεσθαι, ἀναλόγως ἐμπρεπόντων τοῖς κύτεσι τῶν γραφέων· τὸ δὲ λοιπὸν ἑκάτερον ἐκποδών, καὶ χαλκὸν κάρτα μέτριον καὶ αἰσχρὸν εἰσπράττουσιν ἐξ ἀκερμίας, καὶ χόρτον ἀντὶ χάρτου γράμμασι φαύλοις καὶ πενίαν ὄζουσιν ἐκδιδοῦσι. ταῦτα πάντα παραπόλωλε καὶ ἀνυπόστροφον ἀπῆλθεν ὁδὸν τῷ τε μὴ εἶναι πράγματα τοῖς ὑπηκόοις πενίᾳ καταφθειρομένοις τῷ τε τὰ τυχὸν ἐπὶ τὸ δικαστήριον φερόμενα ⟨κινδυνεύειν⟩ νῦν μὲν ἀπειρίᾳ τῶν ἐν αὐτῷ τελούντων νῦν δὲ σφετερισμοῖς νεωτέρων, ὡς

v. 8 απεσωβη *O*, ἀπεσόβει coni. O_2, ἀπεσόβη *F*, corr. *B* | ἅπαντας coni. O_2 12 ὄντων add. *B* 15 μόνοις *O*, corr. *F* 16 εγειρειν *O*, corr. *B* 18 κυτεσι *O*, σκύτεσι coni. O_2 21 utrum πενία an πενίαν habeat *O*, haud dispicio; πενίᾳ *F*, πενίαν coni. *B* | εκδιδωσι *O*, corr. *F* 25 κινδυνεύειν addidi e p. 103, 12

ἔτυχε, τὰς ἡνίας τῶν πρώτων τιμῶν παιδαριώδεσιν αὐθαδείαις ἀναρριπτόντων.

15. *Τοσαῦτα μὲν περὶ τῶν ἐν γράμμασιν ἐθῶν· πλῆθος δὲ δουκιναρίων ὑπούργει τῷ τῶν πριμισκρινίων βήματι ταῖς ἐξ ἀγράφων προστάξεων διαγνώσεσιν, ἃς ἐκάλουν ζευκτάς, ἐξυπηρετουμένων, πρᾶγμα μετὰ τὴν ἐκ τῶν πραττομένων χαρτῶν ἄπειρον τῶν κερδῶν εἰσαγωγὴν πλείστην ῥοπὴν χρημάτων περιποιοῦν τῷ τοῦ πριμισκρινίου φροντίσματι. ἀπὸ μὲν γὰρ ἀώρου νυκτὸς πράττων ὁ ὕπαρχος ἀνατολῶν ἄχρι τῆς ἡμέρας ταῖς διαγνώσεσι νυκτηγρετῶν ἐνησχολεῖτο, μεθ' ἣν τὸν ἐπὶ καμάτῳ νενομισμένον καιρὸν τῆς ἡμέρας τοῖς δημοσίοις καὶ ταῖς ὑποβολαῖς τῶν πραγματικῶν διδασκαλικῶν τε καὶ μονομερῶν ἐδαπάνα χρόνον, τὸν δὲ πρὸς ἑσπέραν ταῖς τῶν λεγομένων ζευκτῶν ἀπαλλαγαῖς ἐπιδιδούς· δι' ὧν πάσης ἐπιθυμίας τούς τε λειτουργοὺς τῆς δίκης τούς τε τυγχάνοντας τῶν πρακτέων καὶ τοὺς ἀπαλλαττομένους τῶν δικῶν ἐνεφόρει. καὶ παραχ[ωρεῖν] μὲν τῷ δικαστηρίῳ ἢ χαλᾶσθαι τοῖς πόνοις οὐδεὶς ⟦ἐκεί⟧νων ὑπέμενεν· ὁ δὲ ὕπαρχος τὸν ὅρον τῆς ἀρχ⟦ῆς⟧ ἔγνω σοφῶς ἐπιστάμενος, ὅτι καὶ ἐλευθέρων ἄρχει καὶ οὐ δ⟦ιὰ⟧ παντός· καὶ τῇ τάξει συνεχεῖς ἐδίδου ἀνοχὰς τῶν [καμά]των, τὰ νῦν καὶ αὐτῇ τῇ προσ-*

v. 2 post *ἀναριπτόντων* (ita *O*) lacunam statuit *F*, qui *ἀναρριπτούντων* scripsit 3 *Τοσαῦτα—ἐθῶν* cum eis quae praecedunt iungit *F* 6 *ἐξυπηρετουμενων O*, *ἐξυπηρετούμενον* coni. *B* 7 *γαρτων O*, del. *F*, *χαρτῶν* scripsi | *ἄπειροι O*, corr. *F* 11 *τὸν ἄχρι ἐπὶ O*, *ἄχρι* aut delendum aut mutandum (in *τῇ ἀρχῇ*) censet *F* ep. p. 33, ego delevi 13 *ὑπονόλαις O*, corr. *F* 19 *μὲν ⟨ἐν⟩ τῷ* coni. *F* 20 . . . . *νων O*, [illegible] *F* | *αρχ* . . *O*, suppl. *F* 21 *σοφος O*, corr. *F* 22 *δ* . . . *O*, [illegible]*όλου⟧* suppl. *F*, *δ⟦ιὰ⟧ B* | *συνεχειν* O, corr. F

ηγορίᾳ τὸ λοιπὸν ἀγνοούμενα παρέχων μονόμισσα — οὕτω δὲ τὴν καθάπαξ ἀνάπαυλαν ἐκ μέσης τῆς ἡμέρας διδομένην τῇ τάξει ἡ παλαιότης ἐκάλεσε —, τῶν τηνικαῦτα διοικούντων τὰ πράγματα — σοφοὶ δὲ ἦσαν καὶ παιδευθέντες — ἐπισταμένων, νύκτα μὲν ταῖς ἀναπαύσεσιν, ἡμέραν δὲ τοῖς πόνοις ὑπὸ τῆς φύσεως παρακεχωρῆσθαι, καὶ ἀνόσιον οἰομένων, τοὺς ἐν πράγμασι νυκτηγρετοῦντας καὶ τῆς μετὰ ἥλιον ζημιῶσαι βραχείας οὖν τινος τῶν πόνων ἐνδόσεως. οὐκ ἀρκούσης δὲ τῆς ἐπὶ τὸ χεῖρον παραλλαγῆς καὶ αὐτῆς τῆς ἐκ τοῦ σχήματος παραψυχῆς τε καὶ τιμῆς ἀφῃρέθησαν οἱ πριμισκρίνιοι, ⟨δικαστηρίων⟩ κινδύνῳ τῆσδε παραμυθίας, ὡς ἔφην, ἀποστερούμενοι.

Περὶ τῶν κομμενταρισίων.

16. Δύο τὸν ἀριθμὸν ⟨καὶ⟩ αὐτῶν, ὡς ἔφθημεν εἰπόντες, τυγχανόντων ⟨τῶν⟩ κομμενταρισίων, οὓς ὁ χρόνος ἐκ τῶν ταχυγράφων ἔφερε τῆς φροντίδος, ἐξ καὶ αὐτοῖς, καθάπερ τοῖς πρὸ αὐτῶν, ὑπέτρεχον βοηθοί, ἐκ τοῦ τάγματος τῶν Αὐγουσταλίων προσλαμβανόμενοι, ἄνδρες ἀστεμφεῖς καὶ νόμῳ πρέπουσαν αὐστηρίαν ἀνατείνοντες, παρ' οἷς ἐτύγχανεν ἡ πᾶσα δύναμις τῆς ἀρχῆς. οὗτοι τὰς μὲν ἐγκληματικὰς ἐξετάσεις ἔφερον [τῷ δι]καστηρίῳ, ὑπασπιζόντων αὐτοῖς, ὡς προ-

v. 13 vide III 14 extr. 15 vide III 4

v. 1 *μανούμισσα* coni. *F* 5 *ἐπίσταντο O*, corr. *F* 6 *παρακεχωρίσθαι O*, corr. O_2 8 *μετὰ ⟨μέσον⟩ ἥλιον* coni. *F* ep. p. 33 12 *δικαστηρίων* addidi e p. 101, 25 | *κινδύνῳ O*, *κοινῆς* coni. *F* 15 *καὶ* et 16 *τῶν* add. *B* coll. III 20 | *ἔφημεν O*, corr. *F* 18 *αυτους O*, *αὐτοῖς* corr. F \ *υπετρεχεν O*, corr. *F* 20 *αστε|φεις O*, corr. O_2

⟦ἔφαμ⟧εν, ἀπλικιταρίων τε καὶ κλαβικουλαρίων μετὰ ⟦πλήθους⟧ ῥαβδούχων σιδηρέοις δεσμοῖς καὶ ποιναίων ὀργ⟦άνω⟧ν ⟦ἢ⟧ πλήκτρων ποικιλίᾳ σαλευόντων τῷ φόβῳ [τὸ δικαστή]ριον· δουκιναρίων δὲ στῖφος θέμενοι καὶ χωρὶς ⟦αὐθεντί⟧ας τοῦ νόμου ἤρκουν πρὸς σωφρονισμὸν ἁμαρτάνουσιν.

17. Ἐγὼ δὲ ἐκπλήττομαι ἀναπολῶν ⟦καὶ κα⟧τὰ νοῦν πρὸς ἐκείνους τοὺς ἄνδρας ἀνατρέχων, [οἷο]ς ἦν ὁ φόβος τῶν κομμενταρισίων παρὰ πᾶσι μὲν [το]ῖς ὁπωσοῦν ἡγουμένοις τῆς τάξεως, διαφερόντως δὲ παρὰ τοῖς σκρινιαρίοις, καὶ ὅπως ⟨πᾶς ὁ⟩ παραπορευομένου κομμενταρισίου τυχὼν ὁμιλίας ἠξιοῦτο. δι᾽ αὐτῶν γὰρ οὐ τὰ τῆς ἀρχῆς μόνα κινήματα, ἀλλὰ καὶ ἡ βασιλέως ἀγανάκτησις ἐθεραπεύετο. τοιγαροῦν ἐγὼ διαμέμνημαι τὴν τοῦ λεγομένου χαρτουλαρίου τηνικαῦτα χάριν πληρῶν τοῖς κομμενταρισίοις, ὡς Ἀναστασίου τοῦ βασιλέως κινηθέντος κατὰ Ἀπίωνος, ἀνδρὸς ἐξοχωτάτου καὶ κοινωνήσαντος αὐτῷ τῆς βασιλείας, ὅτε Κωάδης ὁ Πέρσης ἐφλέγμαινε, Λεοντίου τὴν ἐπαρχότητα διέποντος, ἀνδρὸς νομικωτάτου· ἥ τε βασιλέως ὀργὴ δημεύσεις τε καὶ ἀφορισμοὺς οὐκ ἄλλῃ τινὶ τῶν ἀρχῶν, ἢ μόνῃ τῇ ἐπαρχότητι τὰ τῆς ἀγανακτήσεως ἐπίστευεν· ἐν ᾗ τοσαύτην ἐπεδείξαντο δυναστείαν [τε] καὶ σύντονον ἐντρέχειαν οἱ τότε κομμενταρίσιοι [μετὰ πάσης] καθαρότητος καὶ ἀποχῆς παντοίας ἐπὶ κλοπὴν ἑστώσης

v. 1 vide III 8

v. 1—5 suppl. *F* 1 καβικουλαρίων *O*, corr. *F* ep. p. 31 2 πλήθους suppl. *F* ep. p. 31 | ποινεων *O*, corr. *F* 3 ʼπληκτρων, unde ἢ supplevi; ⟦καὶ⟧ *F* | ποικιλιας αλευόντων *O*, corr. *F* 7 . . . τα *O*, ⟦κα⟧τὰ suppl. *F*, ⟦καὶ κα⟧τὰ scripsi 11 πᾶς ὁ add. F. Skutsch 20 ἢ τοῦ coni. *F*, sed nihil mutandum censuit *F* ep. p. 34

περινοίας, ὥστε τὸν βασιλέα θαυμάσαντα τὴν ἀρε[τὴν τῶν] τότε στρατευομένων, πάσας τὰς ἀνακυπτούσας χρείας, [με]θ' ἃς καὶ τὴν κατὰ Μακεδονίου ⟨τοῦ⟩ τότε τὴν βασιλίδα πόλιν ἐπισκοποῦντος ἀγανάκτησιν, ὡς λόγους περὶ νεωτερισμοῦ δογμάτων ἀποκλείοντος, αὐτοῖς ἐγχειρίσαι, λέγω δὲ τοῖς τῶν ἐπάρχων κομμενταρισίοις, καίτοι Κέλερος τοῦ πά[ν]των φιλτάτου παρόντος τῷ βασιλεῖ καὶ τὴν τοῦ λεγομένου μαγίστρου φροντίδα κοσμίως ἀνύοντος.

18. *Καὶ ταῦτα μὲν ἐκ ⟨τε⟩ θεῶν ἐκ τ' ἀνθρώπων ἀπόλωλε· τὸ γὰρ λοιπ⟦όν ἐστιν 'οὐδ'⟧ ἐν λόγῳ οὐδ' ἐν ἀριθμῷ.' ἐκόσμει δὲ οὐδὲν ἧ[ττον τὴν ⟦πο⟧λύ]τροπον δυναστείαν τοῦ σκρινίου καὶ ἡ τῶν λεγομένων ⟦κομ⟧έντων ἐξουσία ὑπερφυής. ὁ γὰρ ὕπαρχος ἢ πα⟦ρὰ⟧ [βασι]λέως θαρρούμενος ἢ αὐτὸς ⟦κ⟧α⟦τ⟧ὰ [τὸν νόμον] ⟦κινούμενος⟧ καὶ σπουδάζων ἄρχοντα ⟦ὁποιον⟧οῦν ἢ ὑπη⟦κόων τινὰ⟧ παραστῆσαι τῷ νόμῳ, τὸν κ⟦ομμενταρ⟧ίσιον μυστ⟦ογρά⟧φον λαμβάνων, τὸ πρακτέον ἐπέτρεπεν αὐτῷ. ὁ δὲ λ⟦αθὼν τοῦ⟧τον τὸν πιστότατον ἅμα ⟦καὶ μάλιστα τετι⟧μένον τῶν οἰκείων χαρτουλαρίων παραλαβὼν μεθ' ἑαυτοῦ ὑπηγόρευε 'Ρωμαϊκῶν ὀγκῶν ῥημάτων τὸ σ⟦ύν⟧θημα, κ⟦ατ'⟧ ὦπα τῶν ἐκ τάξεως πιστικωτάτῳ ἅμα καὶ διαπρέποντι καταπιστεύων ὥσπερ πτηνὸν τὸν ἀγανακτούμενον παριστᾶν τῷ [βή]ματι.*

v. 11 Anthol. Pal. XIV 73, 8; vide Oracula Graeca n. 178 coll. R. Hendess

v. 3 *τοῦ* addidi 4 *ὡς λόγος* bis scriptum habet *O*, alterum delet O_2, *ὡς λόγον* coni. *F*, *ὡς λόγους* *B* 10 *τε* add. *B* 11—p. 106, 9 suppl. *F* 17 *κ . . . . ησιον* *O*, corr. et suppl. *F* 19 *των πιστοτάτων* *O*, corr. *F* 20 . . . . μενων O, corr. O 21 *ὄγκῳ* coni. Gu. Kroll et Th. Preger 24 πτηνων O, corr

τῆς δὲ βασιλείας ἐπιεικείας καὶ τῆς τῶν ἀρχόντων ἔτι περὶ τοὺς ὑπηκόους στοργῆς συγγνώμης ἀξιουσῶν τοὺς καταρρηθέντας, εἰκὸς ἦν τὸν ἐλευθερούμενον εὐχαριστίας δι' αὐτῶν τῶν ἔργων τοῖς μέσοις ὁμολογεῖν ⟦ὀφείλειν⟧.

19. *Καὶ* συνῆπτο σχεδὸν τῷ σκρινίῳ τῶν κομέντων ὁ καλούμενος ἰνστρουμεντάριος — ἀντὶ τοῦ χαρτοφύλαξ τῶν ἀρχείων τοῦ δικαστηρίου — εἰς τὸ ὑπογράφειν καὶ πληροῦν τὰ[ς ψή]φους, καὶ χ⟦ῶρος⟧ μὲν αὐτ[ῷ ἐν τῷ] ἱπποδρομίῳ ὑπὸ τ[ῷ τ]ῆς βασιλείας ⟦βή⟧ματι ἐπὶ τὸν νότον ἄχρι τῆς καλουμένης σφενδόνος ἐξ ἀρχαίου παρακεχώρηται. πάντα δὲ τὰ ἀπὸ τῆς βασιλείας Βάλεντος ἐν τοῖς τότε μεγίστοις δικαστηρίοις πεπραγμένα αὐτόθι σώζεται καὶ τοῖς ἐπιζητοῦσιν οὕτως ἐστὶν ἕτοιμα, ὡσεὶ χθὲς τυχὸν πεπραγμένα. ἀπώλετο δὲ καὶ αὐτὸς ὁ ἰνστρουμεντάριος καὶ ἔρημος ἡ καθέδρα μένει, μόνοις οἰκέταις ἀναμένουσι τοὺς κεκτημένους ἐγκεχωρημένη. διαγνώσεως γὰρ οὐκ οὔσης — ἢ ἄλλου πρακτέου τινός, ⟨ὡς⟩ εἰκός — οὐδὲ κινουμένης ἐν τῷ δικαστηρίῳ, πῶς ἂν αὐτὸς ἀναγκαῖος εἶναι τοῖς πράγμασι νομι[σθ]είη;

Περὶ τῶν ἀβ ἄκτις.

20. *Ἀβ* ἄκτις μὲν ὄνομα τῷ φροντίσματι· σημαίνει δὲ καθ' ἑρμηνείαν τὸν τοῖς ἐπὶ χρήμασι πραττομένοις ἐφεστῶτα, ⟦ὡς ἀ⟧ πιγμέντις τοὺς ἐπὶ τῶν ἀρωμάτων καὶ ἀ σηκρήτις τοὺς ἐπὶ [τῶν σηκ]ρήτων — οὐδὲ γὰρ

v. 4 *ὀφείλειν* supplevi 6 *ἰστρουμενταριος* O, mutavit O_2 7 *αρχιων* O, corr. O_2 10 *Σφενδόνης* volebat F 11 *ουαλεντος* O, quod mutavi 15 *ιστρουμενταριος* O, quod mutavi 16 *ἐκκεχωρημένη* O, corr. F 17 *μηδ' ἄλλου* coni. F ep. p. 34 | *πρακταιου* O, corr. O_2 18 *ειкος* O, ⟨*ὡς*⟩ *εἰκός* vel *εἰκότως* coni. B | *κινουμένης* O, *κινουμένου* coni. F 23—p. 107, 3 *suppl.* F

ἀδσηκρήτις κατὰ τοὺς ἰδιώτας, ἐξ ⟦ἀγνοίας⟧ μετὰ τοῦ δέλτα στοιχείου τῆς προθέσεως [ἐπιβαλ]λομένης — καὶ ἁ σαβάνις τοὺς ἐπὶ τῶν βαλανείων τῆς ⟦αὐ⟧[λῆς. δύο] δὲ καὶ αὐτῶν ὄντων τῶν ἀβ ἄκτις, οὓς κατὰ βαθμὸν ὁ χρόνος ἀπὸ τῶν ταχυγράφων, καθάπερ τοὺς πρὸ [αὐ]τῶν καλεῖ, ἓξ ἄνδρες ἐραστοὶ καὶ νουνεχέστατοι καὶ σφριγῶντες ἔτι ἀπὸ τοῦ τάγματος τῶν Αὐγουσταλίων βοηθοῦσι δῆθεν ἔτι καὶ νῦν τῷ ὀνόματι. ἔργον δὲ αὐτοῖς τὰς χρηματικὰς ὑποθέσεις τρακτεύειν — ἀντὶ τοῦ διαψηλαφᾶν καὶ εἰσφέρειν κριθησομένας τῷ βήματι — ὑπουργούντων αὐτοῖς τῶν νωμενκλατόρων, οὓς ἀναφωνήτας καὶ συναγωγεῖς, πάλαι μὲν τῶν συγκλητικῶν, νῦν δὲ τῶν δικανικῶν ῥητόρων εἶναι προειρήκαμεν. νόμος δὲ ἦν — καὶ γὰρ οὐκ ἔστιν, ἄρτι παροφθεὶς ἐξ ἀβελτερίας, ἢ τἀληθὲς εἰπεῖν, κακοδαιμονίας —, πάντα διὰ τῶν παρόντων αὐτοῖς χαρτουλαρίων, καὶ αὐτῶν ἀπὸ τῶν ταχυγράφων, ἀναφαίνεσθαι ἐπὶ τῶν λεγομένων ῥεγέστων ἢ κοττιδιανῶν — ἀντὶ τοῦ ἐφημέρων· ῥέγεστα δὲ Ῥωμαῖοι τὰς βίβλους, αἷς ἐνέγραφον τὰ πραττόμενα συνεῖδον ὀνομάζειν, ὅτι ῥήγεστα τὰς πράξεις τοῦ πολιτεύματος εἶναι βούλονται —, ἔνθεν τοῖς ὁτεδήποτε ζητοῦσι τὰ ὁτεδήποτε πεπραγμένα σύντομος περὶ τὴν εὕρεσιν εὐκολία· ἐξ αὐτῶν γὰρ τῶν ῥεγέστων καὶ κοττιδιανῶν ἡ δύναμις τῶν

v. 14 vide supra III 8

v. 1 αδσηκρητεις *O*, corr. *F* | ἀνοίας suppl. *F*, corr. *B* 6 σεραστοι (prius σ postea erasum) *O*, σεβαστοὶ coni. *F*, ἄριστοι Cramer (apud *F* ep. p. 35), ἐργασταὶ aut ἐργάται *F* ep. 9 αὐτους *O*, αὐτοῖς corr. *F* 10 ἀρτι *O*, ἀντὶ corr. O_2 12 νομενκολατωρων *O*, quod mutavi 13 δεκανικων *O*, corr. *F* 16 διὰ τῶν τῶν παροντων *O*, corr. O_2 17 ἀναφέρεσθαι coni. *B* 21 ρηγεστα *O*, ῥῆς γέστας coni. *F* 23 συντομως *O*, corr. *F* \ εὐκολίας *O*, corr. *F* 24 των γαρ *O*, transposuit *F*

πεπραγμένων ἐγινώσκετο. θᾶττον δὲ ⟨ὁ⟩ τῆς τάξεως ἰνστρουμεντάριος λαμβάνων ἀπὸ τῶν ἀβ ἄκτις τὸν χρόνον καὶ τὸν ὕπατον, ἐν ἐπιτόμῳ σημειούμενος πρὸς ταχεῖαν ἀνάμνησιν λόγῳ, θᾶττον ἀπηλλάττετο πονῶν· καὶ τοῦτο μὲν τὸ θαυμαστὸν γνώρισμα τῆς εὐταξίας ἐπράττετο μετὰ σπουδῆς, καὶ πᾶς καιρὸς τοῖς ἐφ[η-μέ]ροις ἐνεγράφετο, μηδὲ τῶν ἀπράκτων ἡμερῶν παραλιμπανομένων τοῖς ἀναγράφουσιν, ἀλλ' αὐτῶν ἔτι καὶ τὰς αἰτίας, [ὧν ἕνε]κα ἀργὰς αὐτὰς εἶναι συνέβαινεν, ἀναγραφόντων. [καὶ τοῦ]το μὲν θαυμαστὸν ἦν· ἡ δὲ τῶν λεγομένων περσωναλί[ων] ἀναγραφὴ παντὸς ἐπαίνου κρείττων δικαίως ἐνομίζ[ετο]. τὰς γὰρ διαγνώσεις περιέφραζεν Ἰταλιστὶ ὁ τῶν βοη[[θούν]]των λογικώτατος οὕτω κατὰ λεπτόν, ὥστε κἂν [εἰ τυ]χ[ὸν] παραπολέσθαι τὴν διάγνωσιν συνέβη ποτέ, ἐξ αὐ[τῆς] μόνης τῆς παραφράσεως καὶ ὡς ὑποτυπώσεως αὖθις δύνασθαι στῆναι τὴν διάγνωσιν· καὶ τοῦτο συμβὰν ἐγὼ αὐτὸς διαμέμνημαι. διαγνώσεως γὰρ εἰσαχθείσης μέν, τῶν δὲ ἐπ' αὐτῇ πραχθέντων οὐδαμοῦ φαινομένων, εἰσενεχθέντος ἐπὶ τῆς ἀρχῆς τοῦ λεγομένου περσωναλίου ἔστη διάγνωσις κατ' οὐδὲν ἐνδέουσα. καὶ τίς οὐκ ἂν ἐπιδακρύσῃ τῶν ἐγκωμίων εἰς μνήμην ἐρχόμενος, οἷς ὑπὲρ τῆς τάξεως καὶ τῶν τοιούτων τῆς ἀρετῆς γνωρισμάτων ἐχρήσατο Σέργιός τε ὁ πολύς, καὶ Πρόκλος ὁ δικαιότατος, Τριβουνιανός τε ὁ πολυμαθέστατος —

v. 1 ὁ add. *B* 2 ινετρουμενταριος *O*, corr. *F* | ἀπὸ τῶν bis scriptum habet *O*, alterum delet O_2 3 χρόν *O*, corr. O_2 4 πόνων *O*, quod correxi 5 τοῦ *O*, τοῦτο corr. *F* 7 ἐγραφετο *O*, quod correxi 8 αυτι *O*, ἔτι corr. O_2, αὐτῶν ἔτι scripsi 10 ειδε *O*, ἡ δὲ corr. O_2 13 περιεφραζεν *O*, περιέγραψεν coni. Cramer apud *F* ep. p. 35 | ιταλιδι *O*, corr. *B* | βοη .... των *O*, *suppl.* *F* 20 εστι *O*, ἔστη corr. *B*

ὧν ὁ μὲν ὕπαρχος οἷος οὐκ ἄλλος, οἱ δὲ ἄμφω κυαίστορες γενόμενοι τὴν πολιτείαν ἐκόσμησαν — συλλαμβανομένων αὐτοῖς περὶ τοὺς ἐπαίνους πάντων ὁμοῦ τῶν τότε δικολόγων, περὶ ὧν σιγᾶν ἄμεινον ἢ παρ' ἀξίαν ἐπαινεῖν κοσμιώτερον οἶμαι. καὶ ταῦτα μέν ποτε· νῦν δ' οὐ μόνον οὐκ ἔστιν, ἀλλ' οὐδὲ μνήμης τινὸς ἀξιοῦται δι' ἃς οὐχ ἅπαξ ἀποδεδώκαμεν αἰτίας.

21. *Μετὰ* δὲ τὸν ἀβ ἄκτις ὁ ῥεγενδάριος ἐπὶ τῆς φροντίδος τῶν συνθημάτων τοῦ δημοσίου δρόμου τεταγμένος ἔτι καὶ νῦν λέγεται μέν, πράττει δὲ οὐδέν, τοῦ μαγίστρου τῆς αὐλῆς τὴν ὅλην ὑφελομένου τοῦ πράγματος ἐξουσίαν. μεθ' ὃν οἱ τῶν διοικήσεων κοῦρα ἐπιστουλάρουμ, οἳ τὰς μὲν ἐπὶ τοῖς δημοσίοις φοιτώσας ψήφους γράφουσι μόνον, τὸ λοιπὸν καταφρονούμενοι· οἱ δὲ λεγόμενοι τρακτευταὶ τὴν ἐγνωσμένην αὐτοῖς διδασκαλίαν ὑποτιθέντες τῷ προστάγματι τὴν ὅλην ὑφήρπα[ζον ἐξουσ]ίαν, μάλιστα ἐξότε τὴν ἀρχὴν ἑαυτοῖς ἐθάρ[ρουν π]εριποιεῖν οἱ σκρινιάριοι. πέρας μὲν ὧδε τῶν λογι[[κῶν]] [τῆς] τάξεως συστημάτων. δουκινάριοι ⟨γὰρ⟩ καὶ κεντινά[ριοι, βίαρχοί] τε καὶ ἀδιούτορες καὶ τὰ λοιπὰ τῆς τάξεως μέλη, [ἀνύον]τα τὴν ὑπὸ τοῦ νόμου τεθειμένην αὐτοῖς λειτουρ[γίαν, τέ]ρμα τῆς στρατείας, ὁποῖον ἡ τύχη δοίη, καταλαμ[βάν]ουσι, τῶν λεγομένων θηκοφόρων, οἳ τὰς προτομὰς τῆς ἀρχῆς φέρουσι, καὶ διαιταρίων ἐν ἑτέροις μὲν τάγμασι τῆς τάξεως καταλεγομένων λειτουργίαν τε πληρούντων.

v. 3 *τῶν αὐτοῖς O*, *τῶν* del. *F* 7 *ἀξιοῦνται O*, quod correxi | *αποδωκαμεν O*, *ἀπεδώκαμεν* O_2, ego correxi 12 *μέσον O*, *μεθ' ὃν* corr. *F* 13 *φυτωσας O*, corr. O_2 18 *σκρινάριοι O*, corr. *F* 19 *λογι . . . O*, suppl. *F* 20 *γὰρ* add. B 23 δυη O, *δοίη* corr. O_2 24 οἱ τῶν O, οἱ del. F 26 δὲ O, τε scripsi

Περὶ τοῦ κορνικουλαρίου τῆς μεγίστης τάξεως.

22. *Πάντων, οἶμαι, τῶν καταλόγων, εἰ μή τι σφάλλομαι, παρελθόντων τῷ λόγῳ, ὑπόλοιπόν ἐστιν, αὖθις καθάπερ ἡγεμόνα σεμνὸν ἐπὶ τέλους τὸν κορνικουλάριον ἐπὶ τῆς ἱστορίας ἀναδεῖξαι· δεῖ γὰρ αὐτὸν τὴν ὅλην συνέχοντα τάξιν ἀρχὴν ἅμα καὶ πέρας αὐτῆς ἀποδεῖξαι. ἀρκεῖ μὲν οὖν αὐτῷ πρὸς ἀξιοπιστίαν καὶ μόνος ὁ χρόνος, ὑπὲρ τριακοσίους καὶ χιλίους ἐνιαυτοὺς ἡγουμένῳ τοῦ τάγματος, καὶ σὺν αὐτῷ τῷ πολισμῷ τῆς ἱερᾶς Ῥώμης ἐπιφανέντι τοῖς πράγμασι· παρῆν γὰρ ἀνέκαθεν τῷ ἱππάρχῳ, ὁ δὲ ἵππαρχος τῷ τότε ῥηγί. ὥστε ἐκ προοιμίων τῆς Ῥωμαϊκῆς πολιτείας γνώριμος ὁ κορνικουλάριός ἐστιν, κἂν εἰ μηδὲν αὐτῷ παρὰ τὴν προσηγορίαν ἀπολέλειπται· ἐξότε ⟨γὰρ⟩ Φοῦσκον — οὕτω δὲ ⟨τὸν⟩ μελάγχρωτα Ῥωμαῖοι καλοῦσι — Δομιτιανὸς πραιτωρίων ὕπαρχον κατὰ τὴν Αὐγούστου ἐγχείρησιν προβαλόμενος τὴν τοῦ ἱππάρχου περιττὴν ἀπέδειξε προαγωγήν, ⟨αὐτὸς τῶν⟩ ὅπλων ἡγούμενος, μετηνέχθη πάντα.*

23. *Τοιγαροῦν τὰ ὁπωσοῦν παρὰ τοῖς ὑπάρχοις πραττόμενα μόνος διέταττεν ὁ κορνικουλάριος, καὶ τοὺς ἐξ αὐτῶν πόρους εἰς οἰκείαν ἀπεφέρετο παραψυχήν· καὶ τοῦτο ἀπὸ Δομιτιανοῦ ἕως τοῦ καθ' ἡμᾶς Θεοδοσίου κρατοῦν ἠμείφθη διὰ τὴν Ῥουφίνου τυραννίδα. νόμον γὰρ ἔθετο ὁ βασιλεὺς Ἀρκάδιος τὸ τῆς*

v. 7 *ἀξιοπρέπειαν* coni. *F* 11 *τῶ τε O*, *τότε τῷ* coni. *F*, *τῷ τότε B* 14 *γὰρ* add. *F* 15 *τὸν* add. *B* | *μελαν χρῶτα O*, corr. *F* | *δομετιανος O*, quod ad v. 23 mutavi 16 *ὑπαρχος O*, corr. *F* 17 *προβαλλόμενος O*, corr. *B* 18 *αὐτὸς τῶν* addidi 19 *μετενέχθη O*, corr. O_2 21 *δεὶ ἔταττεν O*, *δὴ ἔταττεν* coni. O_2, corr. *F*

ἀρχῆς δυνατὸν δεδιττόμενος, [ὥστε] τὸν πρίγκιπα τῆς τάξεως τοῦ μαγίστρου παριόντα ⟦ἐπὶ⟧ τὰ μέγιστα δικαστήρια περιεργάζεσθαι καὶ πολ⟦υπραγμο⟧νεῖν τὴν δύναμιν τῶν πραττομένων ἐν [αὐτοῖς, καὶ] ⟦οὗτινος⟧ χάριν γίνοιντο τὰ τοῦ δρόμου συνθήματα [εὑρίσκειν. καὶ] τὸ λοιπὸν ὁ Ῥουφῖνος, ἐξότε δι' ἑαυτοῦ ἐπὶ τὴν ἕω ⟦ἦλθε⟧, τὸν λεγόμενον κόμιτα τῆς ἀνατολῆς μαστίξας ἀπώλεσεν, ἀνθ' ὧν ἐτόλμησε ζηλῶσαι τῷ λόγῳ τὴν ἐπαρχότητα· καὶ ἡ μὲν Ἀρκαδίου, ὡς ἔφην, διάταξις ἐν τῷ πάλαι Θεοδοσιανῷ κώδικι ἀνεγέγραπτο, οἱ δὲ τὸν νεαρὸν καταστησάμενοι παρεῖδον αὐτήν, ὡς περιττὴν αὐτοῖς εἶναι φανεῖσαν.

24. *Παρὼν οὖν ὁ πρίγκεψ τῶν μαγιστριανῶν τοῖς μεγίστοις ποτὲ δικαστηρίοις καὶ μηδὲν παρὰ τὴν προσηγορίαν ἔχων, λόγους ἔθετο πρὸς τὸν τότε τῆς τάξεως κορνικουλάριον, ὥστε πάροδον αὐτῷ δοῦναί τινα πρὸς τὰ πραττόμενα· καὶ δόξαν οὕτως ἐτύπωσεν ὁ πρίγκεψ μίαν χρυσίου λίτραν καθ' ἕκαστον μῆνα προσφέρειν τῷ κορνικουλαρίῳ, μετὰ τὸ πᾶσι τοῖς ἐκ τάξεως κατὰ συνήθειαν λαμβάνουσι μοῖραν τινὰ τῶν πόρων ἀμελλητὶ διδόναι τὰ εἰωθότα. τούτων οὕτως συντεθειμένων αὐτοῖς, λαμβάνων ὁ κατὰ καιρὸν κορνικουλάριος παρὰ τοῦ πρίγκιπος τὰς δώδεκα τοῦ χρυσίου λίτρας δίχα τινὸς ἐλλείμματος, μετὰ πάσης τιμῆς παρεχώρει τῷ κρείττονι μᾶλλον τὴν τῶν μονομερῶν ἐντυχιῶν εἰσαγωγήν, φυλάξας ἑαυτῷ μετὰ τὴν ἐκ τοῦ βαθμοῦ καὶ*

v. 10 cf. Cod. Theod. VIII 5, 35; vide supra p. 66, 17

v. 2—7 suppl. *F* 9 *διατάξεις O*, corr. O_2 10 *κοδηκι O*, corr. O_2 11 *τῶν νεαρῶν O*, corr. *F* 14 *μηδένα O*, corr. *F*, servandum fortasse censet *F* ep. p. 28 20 *μιαν O*, *μοῖραν* corr. *B* 21 *συντιθεμένων O*, corr. *B* 22 *καιρὸν ὁ O*, ὁ del. O_2 23 *δέδωκα O*, corr. O_2 25 *εἰσαγων O*, corr. O

τῶν ἄλλων κερδῶν προνομίαν τὸ πληροῦν δι' οἰκείας ὑποσημειώσεως τὰ πραττόμενα, οὐκ ἔλαττον χιλίων χρυσῶν πόρον αὐτῷ περιποιοῦντα.

25. *Τὰ δ' ἔνθεν οὐκέτ' ἂν φράσαι λόγῳ*
δακρύων δυναίμην χωρὶς

κατὰ τὸν Εὐριπίδου Πηλέα. πάντων γὰρ ἤδη [πρότ]ερον τούτων, ὃν τρόπον καὶ τῶν ἄλλων, ἀπολο[μένων] παραπέλαυσα καὶ αὐτὸς ἐγὼ τῆς κακο[δαιμον]ίας τοῦ χρόνου καταντήσας εἰς τὸ πέρας [τῶν τῆς] στρατείας βαθμῶν, μηδὲν παρὰ τὴν προ[σηγ]ορίαν κτησάμενος. καὶ μάρτυρα τὴν Δίκην ἀλη[θεύων] οὐκ ἐρυθριῶ ἐπικαλούμενος· ἕως ἑνὸς ὀβο[λοῦ ο]ὐκ ἀπὸ τοῦ πρίγκιπος, οὐκ ἀπὸ τῶν λεγομένων κομπλευσίμων οἶδα κομισάμενος. πόθεν γὰρ ἔμελλον λαμβάνειν, τῆς μὲν ἀρχαίας συνηθείας ἐχούσης ἑπτὰ καὶ τριάκοντα χρυσείους παρέχεσθαι τῇ τάξει ὑπὲρ μονομεροῦς ἐντεύξεως πρὸς τῶν ὁπωσοῦν εἰσβαλλόντων ἐν τοῖς τότε μεγίστοις δικαστηρίοις, τὸ δὲ λοιπὸν χαλκοῦ κάρτα μετρίου — οὐ γὰρ χρυσίου — ὥσπερ εἰς ἔλεον οἰκτρῶς καὶ οὐδὲ συνεχῶς ἐπιδιδομένου; ἢ πῶς ὁ πρίγκεψ πρὸς τὰ πάλαι διδόμενα παρ' αὐτοῦ τῷ κατὰ καιρὸν κορνικουλαρίῳ συνωθεῖτο, μηδὲ εἰς μνήμην ψιλῆς γοῦν προσηγορίας ἀναφερόμενος, μηδὲ παρεῖναι τὸ λοιπὸν ὑπομένων τῷ δικαστηρίῳ, οὐδενὸς οὐδενὶ ἐν βαθμῷ στρατευομένου; ἐμοὶ δὲ μεταμέλει ὀψίᾳ τοῦ καιροῦ τὸ προσῆκον ἀναλογιζομένῳ,

v. 6 Eur. frg. 621 Nauck[2]

v. 4 *φράσας O*, corr. *F* ep. p. 36 *B* 9 *ἔσω O*, *ἐγὼ* corr. *B* 16 *χρυσίους O*, *χρυσίνους F* ep. p. 36 *B*, corr. Th. Preger 17 *πρὸς τὸν O*, corr. O_2 20 *ἔλαιον O*, corr. Gu. Kroll 21 *ὅπως O*, *πῶς* corr. *F* 25 *ουδενίω O*, *οὐδενὶ ἐν* corr. *F*

ἀντὶ τίνος τοσοῦτον προσήδρευσα χρόνον τῷ δικαστηρίῳ, μηδὲν ἐξ αὐτοῦ πρὸς παραψυχὴν εὑραμένῳ· καὶ δικαίως ταῦτά μοι συμβέβηκεν εἰς ταύτην ἐμβαλόντι τὴν λειτουργίαν. ὥστε χαλεπὸν οὐδὲν τὴν ἐκ προοιμίων ἐπ' ἐμοὶ διελθεῖν ἄχρι τοῦδε τῷ λόγῳ διήγησιν.

26. Ἕνα καὶ εἰκοστὸν τῆς ἡλικίας ἄγων ἐνιαυτὸν ἐπὶ τῆς Σεκουνδιανοῦ ὑπατείας ἐκ τῆς ἐνεγκούσης με Φιλαδελφείας τῆς ὑπὸ τῷ Τμώλῳ ἐν Λυδίᾳ κειμένης παρῆλθον εἰς ταύτην ⟨τὴν⟩ εὐδαίμονα πόλιν· καὶ πολλὰ μετ' ἐμαυτοῦ σκεψάμενος ἐπὶ τοὺς μεμοριαλλίους τῆς αὐλῆς συνεῖδον ἐλθεῖν καὶ πρὸς στρατείαν ἀναζώσασθαι μετ' ἐκείνων. ὅπως δὲ μὴ τὸν ἐν μέσῳ χρόνον δόξαιμι ζημιοῦσθαι, εἰς φιλοσόφου φοιτᾶν διέγνων. Ἀγάπιος ἦν κατ' ἐκεῖνον τὸν χρόνον, περὶ οὗ Χριστόδωρος ὁ ποιητὴς ἐν τῷ περὶ τῶν [ἀκρο]ατῶν τοῦ μεγάλου Πρόκλου μονοβίβλῳ φησὶν οὕτως·

[Ἀγάπιος] πύματος μέν, ἀτὰρ πρώτιστος ἁπάντων,

παρ' ᾧ τὰ πρῶ[[τα]] τῶν Ἀριστοτελικῶν διδαγμάτων μαθὼν ἔτυχον καί τινων ἐ[[κ τῆ]]ς Πλατωνικῆς φιλοσοφίας ἀκροάσασθαι. ἡ δὲ τύχη μᾶλλον εἰς ταύτην [[μ]]ε παρωθῆσαι ⟨τὴν⟩ λειτουργίαν σκεψαμένη [Ζω]τικόν, πολίτην ἐμὸν καὶ χαίροντά μοι ⟨οὐ⟩ μετρίως,

v. 14 Fr. Baumgarten, de Christodoro poeta Thebano (diss. Bonn. 1881) p. 7

v. 1 *αν τις O, ἀντὶ τίνος* corr. *F* 8 *καὶ λυδία O*, corr. *F* 9 *τὴν* add. *B* 10 *με|ταυτῶν O, μετ' αὐτῶν* coni. O_2, *μετ' ἐμαυτοῦ* corr. *F* | *μεμωριαλλίους O*, corr. *F* 12 *μὴ τῶν O, μὴ τὸν* corr. *F* 16 *εφησίν O*, corr. O_2 18 [[*στοιχεῖα*]], quod litterarum vestigiis minime convenit, suppl. *F*; *πρῶ*[[*τα*]] scripsi 19 *ειπων O*, del. O_2, *μαθὼν* corr. F. Skutsch | *ε ... ς O*, suppl. *F* 21 *επαρωθησαι O*, suppl. et corr. *F* | τὴν add. B 22 οὐ add. *F*

ἐπὶ τὴν ἐπαρχότητα τῶν πραιτωρίων ὑπὸ τῷ πάντων βασιλέων ἡμερωτάτῳ Ἀναστασίῳ προήγαγεν, ὃς οὐ πείθειν με μόνον, ἀλλὰ καὶ ἀναγκάζειν δυνάμενος τοῖς ταχυγράφοις τῆς ἀρχῆς συνηρίθμησεν, ἐν ᾗ καὶ Ἀμμιανὸν τὸν ἐπιεικέστατον, ἀδελφιδοῦν τῷ ἐμῷ πατρὶ γενόμενον, συνέβαινε διαφαίνεσθαι.

27. Ὅπως δὲ μὴ τυχὸν ῥαθυμήσω, πᾶσάν μοι κέρδους ὁδὸν ὁ ὕπαρχος ἔδειξεν, ὥς παρ' ὅλον τὸν τῆς ἀρχῆς χρόνον αὐτοῦ — μέτριος δὲ ἦν καὶ βραχεῖ τὸν ἐνιαυτὸν ἐκβάς — οὐκ ἐλάττους χιλίων χρυσῶν ἀποκερδᾶναι σωφρόνως. ⟨ὡς⟩ εἰκὸς οὖν εὐχαριστῶν ἐγὼ — πῶς γὰρ οὔ; — ἐγκώμιον βραχὺ πρὸς αὐτὸν διεξῆλθον· ὁ δὲ ἡσθεὶς ἀνὰ στίχον μὲν ἕκαστον χρύσινον ἀπὸ τῆς τραπέζης με κομί[σασθαι παρ]εκελεύσατο· οἱ δὲ πρὸς τὸ βοηθεῖν ὑπὸ τοῦ λεγομένου ἀβ ἄκτις καλούμενοι, τὸ μήποτε γενόμενον, παρακαλοῦντες προσελάβοντό με εἰς πρῶτον χαρτουλάριον, ἑτέρων δύο μόνων, ἤδη γερόντων, πρότερον μετὰ χρυσίου δόσεως συνταξαμένων αὐτοῖς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ τέσσαρας πρὸς εἴκοσι χρυσοῦς κατ' ἔτος ὥρισαν ἕκαστον. ὁμοίως τε ποιῶν ἀντ' αὐτῶν τὸ λεγόμενον περσωνάλιον καὶ κοττιδιανόν, περὶ ὧν ἄρτι διεξῆλθον, σουγγεστιῶνας ἐτι[θέμ]ην, ὧν ὁ λόγος ὧδε· πάντες μὲν ἀνέκαθεν οἱ παρὰ τῇ ποτὲ πρώτῃ τῶν ἀρχῶν βοηθοῦντες τοῖς τρέχουσι σκρινίοις δι[ὰ πολλ]ῆς ἐξέλαμ-

v. 22 vide supra III 20

v. 1 *ὑπο τῶν O*, corr. O_2 2 *ὡς ου O*, *ὃς οὐ* corr. *F* 3 *πυθει* postea addito *ν O*, corr. *F* 11 *ὡς* add. *B* 12 *οὐκεγκωμιον O*, corr. O_2 15 *απο O*, *ὑπὸ* corr. *B* | *καλουμενος O*, corr. O_2 21 *ποιεῖν O*, *ποιῶν* corr. *F* 23 *σουγγεστίονας* et p. 115, 6 *σουγγεστίονα O*, mutavit *F* 24 *η παρα O*, *οἱ παρὰ* corr. O_2 25 et p. 115, 5 suppl. *F*

πον παιδείας, περὶ δὲ τὴν Ῥωμαίων φωνὴν [τὸ πλέον ἔ]χειν ἐσπούδαζον· χρειώδης γὰρ ἦν αὐτοῖς κατὰ [τἀναγκ]αῖον. δίκης οὖν ἐφεσίμου τυχὸν γενομένης, εἶτα πρὸς τὴν [σύγκ]λητον ἀναγομένης πρὸς διόρθωσιν, ὁ τῶν ἄλλων ⟦βοηθῶν⟧ [κρ]είττων συνέταττε τὴν λεγομένην σουγγεστιῶνα — [ἀντὶ] τοῦ διδασκαλίαν — πρὸς ἀκρόασιν τῆς βουλῆς οὕτω [μάλιστ]α, ὡς ἐκπλήττειν τόν τε τῆς βουλῆς κυαίστορα καὶ τοὺς λεγομένους πάλαι μὲν ἀντεκήνσορας, καθ' ἡμᾶς δὲ ἀντιγραφεῖς. τοῦ δὲ θεοῦ συλλαμβάνοντος καὶ τῆς ἀπὸ τῶν περιγινομένων μοι παραμυθιῶν προθυμίας ἀνεπαίσθητον ἀποτελούσης τὸν κάματον, οὐ μόνον ἐπλήρουν τὰς εἰρημένας λειτουργίας ἐπὶ τοῦ σκρινίου, ἀλλὰ μὴν ἐπεσηκρήτευον παρὰ τοῖς ταχυγράφοις, ἔτι καὶ βοηθῶν ἑτέροις ἐν τῷ τεμένει τῆς δίκης ταχυγραφοῦσιν, ὃ καλεῖται σήκρητον — καὶ οὐ μικρὰ ἥ τε δόξα διὰ τῶν ἔργων ἥ τε τῆς παραμυθίας ἐπὶ τοῖς ἔργοις ἀφθονία —, ἔνθεν ὥσπερ ἀναπτερωθεὶς ἐπὶ τοὺς λεγομένους ἀ σηκρήτις τῆς αὐλῆς ἐπειγόμην.

28. Ὁ δὲ Ζωτικὸς ὑποβάλλοντος αὐτῷ τοῦ πάντα χρηστοῦ καὶ ἐπιεικοῦς, φιλομαθοῦς τε καὶ φιλοσόφου τὸν βίον Ἀμμιανοῦ καὶ γαμετήν μοι περιποιεῖ ἑκατὸν μὲν χρυσίου λιτρῶν φερνὴν προσάγουσαν, τὰ δὲ ἄλλα κρείττονα τῶν ὁτεδήποτε ἐπὶ σωφροσύνῃ θαυμαζομένων [γυναικῶν. ἐγὼ] δὲ κρείττονα πολλῷ τοῦ χρόνου προϊόντος ἐλπίζων προελθεῖν μοι τὰ πράγματα τῆς μὲν ἐπὶ τὴν αὐλὴν σπουδῆς ἀπεσχόμην, ὅλον δέ μου τὸν

v. 2 χρειωδεις O, corr. O_2 4 συγκλητικον O, corr. O_2 9 ἀντεκίνσορας O, corr. F   14 επισηκρητευον O, mutavit F | βοηθον O, ἐβοήθουν F, corr. Th. Preger   20 τὰ πάντα O, τοῦ πάντα corr. F   23 μοι O, μὲν corr. B   26 προσελθεῖν O, corr. B

βίον τῇ στρατείᾳ παρεχώρησα. τῶν οὖν κοινῶν τοιούτων ἀποτελεσθέντων ἐπὶ πᾶσιν, ὁποίων ὁ λόγος ἐμνημόνευσε, καὶ τὸ λοιπὸν τοῖς λογικοῖς ⟨οὐχ⟩, ὡς τὸ πρίν, τῆς τύχης ἀπαρεσκομένης, ἐμίσησα τὴν στρατείαν, ὅλον ἐμαυτὸν τοῖς βιβλίοις ἐκδούς. γνοὺς δὲ ὁ βασιλεὺς τὴν ἐμὴν περὶ τοὺς λόγους ἀγρυπνίαν πρῶτον μὲν ἐγκώμιον εἰπεῖν με πρὸς αὐτὸν κατηξίωσε, παρόντων ἐκ [τύ]χης καὶ τῶν ἀπὸ τῆς μείζονος Ῥώμης λογάδων, οἷς ἀ⟦εὶ⟧ μέλει, καὶ τοῦτο ταλαιπωροῦσι, τῆς περὶ λόγους σπουδῆς. οὗ γενομένου, καὶ συγγράψαι με τὸν πρὸς Πέρσας αἰσίμως αὐτῷ χειρισθέντα πόλεμον παρεκελεύσατο, ὅτε Δάραν τὴν πόλιν, ἣν ὁ πολὺς Ἀναστάσιος ⟦ταῖς φά⟧ρυγξι τῶν πολεμίων ἐπιτέθεικεν, ἐνοχλοῦντες ἐ⟦κεῖθεν⟧ οὐ μετὰ μικρᾶς ζημίας ὑπενόστησαν, οὐκ ἐπ' αὐτοῦ πά⟦λιν⟧ προελθόντες.

29. *Πραγματικὸν ⟨οὖν⟩ πρὸς τὴν ἐπαρχότητα γράφων ὁ βασιλεὺς ἐπ' ἐμοί, τοιούτοις ἐχρήσατο ῥήμασιν· ‘Ἰωάννῃ τῷ λογιωτάτῳ πολλὴν μὲν σύνισμεν τὴν ἐν λόγοις παιδείαν τήν τε ἐν γραμματικοῖς ἀκρίβειαν τήν τε ἐν ποιητικοῖς χάριν καὶ τὴν ἄλλην αὐτοῦ πολυμάθειαν, καί, ὅπως τὴν Ῥωμαίων φωνὴν τοῖς ἑαυτοῦ πόνοις ἀποδείξει σεμνοτέραν, καίτοι τῆς στρατείας αὐτῷ τῆς ἐν τοῖς δικαστηρίοις τῆς σῆς ὑπεροχῆς ὀρθῶς φερομένης, ἑλέσθαι μετ' αὐτῆς καὶ τὸν ἐν βιβλίοις ἀσκῆσαι βίον καὶ ὅλον ἑαυτὸν ἀναθεῖναι τοῖς λόγοις. τὸν τοίνυν εἰς τοσοῦτον ἀρετῆς ἀναβάντα ἀγέραστον ἀπολιπεῖν ἀνάξιον τῶν ἡμετέρων χρόνων εἶναι κρίνοντες,*

v. 1 *τῆς στρατείας* *O*, corr. *F* 2 *οποιον* *O*, corr. *B* 3 *οὐχ* add. *F* 9—15 suppl. *F* 9 *μελλει* *O*, corr. *F* 11 *αισμως* *O*, *ἀσμένως* coni. O_2, *αἰσίμως* corr. *F* 16 *οὖν* add. F. Skutsch 18 *πολλῆς*, quod correxit, *O* 20 *ποιηταις* *O*, corr. *F* 22 *ἀπέδειξε* *O*, corr. *B*

προστάττομεν τῇ σῇ ὑπεροχῇ ἐπιδοῦναι αὐτῷ τοῦ δημοσίου τόδε. ἴστω δὲ ὁ εἰρημένος σοφώτατος ἀνήρ, ὡς οὐ μέχρι τούτου στησόμεθα, ἀλλὰ καὶ ἀξιώμασι καὶ ἱεραῖς μείζοσι φιλοτιμίαις τιμήσομεν αὐτόν, [ἄτοπον] ἡγούμενοι, τοιαύτην εὐγλωττίαν οὕτω μικρᾶς ἀμοιβῆς ἀξιωθῆναι, ἐπαινοῦντες αὐτόν, εἰ καὶ πολλοῖς ἑτέροις τῆς οὔσης αὐτῷ μεταδοίη παρασκευῆς.' τούτοις ἐπιψηφισαμένου τοῦ τηνικαῦτα τὴν πολιαρχίαν ἰθύνοντος καὶ τόπον διδασκάλοις ἀπονενεμημένον ἀφορίσαντός μοι ἐπὶ τῆς Καπιτωλίδος αὐλῆς, ἐχόμενος τῆς στρατείας ἐπαίδευον, καὶ μεγαλοφρονεῖν ἐξηγόμην.

30. Παρὰ μέντοι τῆς στρατείας βαθμῶν τε καὶ πόρων ἄνευ τινὸς ἐλαττώσεως, ὥσπερ ἀνεπαισθήτως τοῦ χρόνου τροχάζοντος, ἐπὶ τὸ πέρας τῆς στρατείας ἀνῆλθον. καὶ κερδῶν μὲν ἕνεκα, ὡσεὶ μηδ' ἐν στρατείᾳ τελῶν, παρηνέχθην· ἔτυχον δὲ τιμῆς καὶ τῆς ἀπὸ τῶν κρατούντων αἰδοῦς, καί — τὸ δὴ πάντων γλυκύτερον — ἐν ἀνέσει τὸν βίον παρέδραμον. ἡ δὲ πάνσοφος δίκη, [δικαί]οις με παραμυθουμένη τρόποις, τοῖς μὲν στρατιώ[ταις], ὡς ἔφην, αἰδέσιμον ἔδειξε, τοῖς δὲ ἄρχουσιν οὐκ ἀπάξιον τιμῆς· καὶ τοῦτο δῆλον ἐκ τῆς προελθούσης ἐπ' ἐμοὶ ψήφου, ὅτε τὴν ζώνην ἀφεὶς ἐπὶ τὴν αὐλὴν ἐχώρουν. πρῶτον μὲν γὰρ ἀναβάντα με ἐπὶ τοῦ βήματος τῆς ἐπαρχότητος, κατὰ τοῦτο δὴ τὸ σύνηθες εὐχαριστῆσαι τῷ κρείττονι καὶ τὴν ἀρχὴν ἀπώσασθαι, τιμήσας ⟨ὁ⟩ ὕπαρχος — Ἥφαιστος δὲ ἦν ὁ χρηστός, ἀνὴρ ἀγαθὸς καὶ ἐκ μόνης τῆς προσηγορίας

v. 1 ἐ αὐτω *O*, ἐ del. O_2 7 μεταδώη *O*, quod mutavi 8 πολυαρχίαν *O*, corr. *F* 9 ἀπονενημένον *O*, quod correxit aut *O* aut O_2 15 μη|δεν *O*, μηδ' ἐν corr. *F* 22 αφης *O*, corr. *F* 24 ἀρχότητος *O*, corr. F 26 ὁ add. F p. 296 et

τὴν οὖσαν εὐγένειαν αὐτῷ δεικνύς· Ἡφαίστου γάρ, τοῦ πρώτου βασιλεύσαντος Αἰγύπτου κατὰ τὸν Σικελιώτην, ἀπόγονος εἶναι διεφημίζετο — ἐγερθεὶς ἀντησπάσατό με λιπαρῶς καὶ περιβαλὼν αὐτίκα μὲν τὸ πρόσταγμα τῶν ἀννωνῶν χερσὶν ἰδίαις ἐπιδίδωσιν εὐχαριστῶν· μετὰ δὲ μυρίους ἐπαίνους πάσης τῆς τάξεως παρούσης ψῆφον ἀνέγνω ἔχουσαν ὧδε. ‘‘Ἰωάννης μὲν ὁ λογιώτατος — τούτῳ γὰρ χαίρει τῷ προσρήματι μᾶλλον ἢ τοῖς ἐκ τῶν ὑπαρξάντων αὐτῷ γερῶν προσγενομένοις γνωρίσμασιν — ἤδη φθάσας τοῖς ἁπάντων ἑαυτὸν καλλίστοις — παιδείᾳ τε καὶ λόγοις φαμέν — τοιοῦτον ἀπέδειξεν, ὡς οὐκ αὐτὸν θαυμάζεσθαι μόνον, ἀλλὰ καὶ πολλοὺς ἑτέρους, οἳ δὴ τῆς αὐτοῦ διδασκαλίας ἔργον γεγόνασι. μικρὸν δέ, ὡς ἔοικεν, εἶναι νενομικώς, εἰ μόνοις κοσμοῖτο τοῖς ἐκ λόγων ἐπιτηδεύμασι — καίτοιγε τί ἄν τις τούτων ἡγήσοιτο μεῖζον; —, καὶ τοῖς πολιτικοῖς ἐνέμιξε πράγμασιν. ὑπηρετησάμενος δὲ τοῖς ἡμετέροις δικαστηρίοις μίαν τινὰ διὰ πάντων ἐφύλαξεν ἁρμονίαν, τοῖς οἰκείοις πανταχοῦ κατακολουθῶν παραδείγμασι καὶ δι' αὐτῶν διδάσκων τῶν ἔργων, ὡς φύσις ἀγαθὴ καὶ τίκτειν οἷά τε οὖσα τὰ χρησιμώτερα, πρὸς ὅπερ ἂν βίου σχῆμα τραπείη, τῶν οἰκείων οὐκ ἐξίσταται πλεονεκτημάτων, σεμνοτέραν δὲ τὴν ἀρετὴν ἀπεργάζεται, λόγοις αὐτὴν καὶ πολιτικοῖς ποικίλλουσα πράγμασι. τούτοις τοίνυν ἅπασιν ἐνευδοκιμηκὼς Ἰωάννης ὁ λαμπρότατος, τοὺς ἐν τοῖς ἡμετέροις δικαστηρίοις βαθμούς τε καὶ πόνους διανύσας, ἐπὶ τὰ τοῦ μεγάλου βασιλέως δραμεῖται ἴχ[νη] καὶ μειζόνων

v. 2 Diod. bibl. I 13, 3

v. 4 *περιλαβων* O, corr. O_2 16 *καιτοιγε αν*, addito postea *τι*, O 28 *μεγα* O, corr. O_2

ἐκεῖθεν ἀπολαύσει δωρεῶν. ἔστι γὰρ δὴ πρὸς τοῖς ἄλλοις πλεονεκτήμασι καὶ φιλολόγος ὁ βασιλεύς, τοῦτο καλῶς ἐφ' ἡμῶν πεποιηκότος τοῦ χρόνου, ὅπως ἂν ἡ τοῦ προστατοῦντος σεμνότης καὶ τὴν λοιπὴν ἅπασαν τάξιν ἐπί τι φέροι λαμπρότερον.' ταύτην τὴν τιμὴν ἀντὶ πολλῶν χρημάτων ἐκ τοῦ δικαστηρίου λαβών, ἡγουμένων τῶν πάντα μοι γλυκυτάτων ἑταίρων ἐπὶ τὴν αὐλὴν ἀνεχώρησα, στρατευσάμενος τοὺς πάντας τεσσαράκοντα ἐνιαυτοὺς πρὸς μησὶ τέσσαρσι· καὶ τυχὼν τοῦ εἰωθότος παρὰ τῆς βασιλείας ἀξιώματος τοῖς πληροῦσιν ἐπιδίδοσθαι αὖθις ἐπὶ τὰ βιβλία παρῆλθον.

Περὶ τῶν σκρινιαρίων τῶν διοικήσεων, στρατιωτικοῦ τε καὶ σιτωνικοῦ καὶ καγκελλαρίων.

31. Εἰ πᾶσάν τις ἐπέλθοι κατὰ πόδα [τὴν Ῥωμαϊκὴν ἱστ]ορίαν, οὔποτε εὑρήσει πρὸ τῆς Κωνσταντίνου βασιλείας τὸ σκρινιαρίων ὄνομα. σκρινίον μὲν γὰρ καὶ σκρῖβαν καὶ τὰ τούτων δὴ παραγωγὰ εὑρήσει, τὸ δὲ σκρινιαρίων ἐπώνυμον οὐδαμοῦ. ὥστε οὐκ οἶδε μὲν αὐτοὺς ἀνέκαθεν τὸ πολίτευμα, οὐδ' εἰσὶ μέρος οὐ τῆς τοῦ ἱππάρχου οὐδὲ μὴν τῆς τῶν ἐπάρχων τάξεως. ἰδιωτεύοντες δὲ παρῆλθον κατὰ τὸ ἀναγκαῖον ἐπὶ τὰ πράγματα· καὶ ὅπως, ἐρῶ. Κωνσταντῖνος πρῶτος, ὡς ἔμπροσθεν εἴρηται, Σκυθίαν τε καὶ Μυσίαν καὶ τοὺς ἐξ ἐκείνων φόρους ἄκων ἐζημίωσε τὴν Ῥωμαϊκὴν πολιτείαν, τὰς φρουρούσας δυνάμεις τὴν ὄχθην τοῦ πρὸς

v. 23 vide supra II 10

v. 2 φιλογος, quod correxit, O | βασισιλευς O, corr. O_2 7 ἑτέρων O, corr. F 14—p. 142, 21 exceptis nonnullis mendis in p. 135 sq. obviis non correxit O_2 16 σκρινιαριον O, corr. F p. 296

βορέαν Ἴστρου ἐπὶ τὴν κάτω Ἀσίαν δέει τυραννίδος διασκεδασάμενος. ἐμοὶ δὲ δοκεῖ βραχὺ παρατραπέντι τοῦ σκοποῦ περὶ τῆς προσηγορίας τοῦ ποταμοῦ διὰ βραχέων εἰπεῖν· νῦν μὲν γὰρ Ἴστρον, [νῦν] δὲ Δανούβιον τὸν αὐτὸν εὑρίσκομεν ὀνομαζόμενον· ὥστε δεήσει διδασκαλίας.

32. *Ἐκ τῶν Ῥητικῶν ὀρῶν, ἃ τῆς Κελτικῆς ὀρεινῆς εἶναί φησιν ὁ Καῖσαρ ἐν βιβλίῳ τῷ πρώτῳ τῆς κατ' αὐτὸν Γαλλικῆς ἐφημερίδος, ἐκ μιᾶς πηγῆς ὅ τε Ῥῆνος ὅ τε Ἴστρος, οὐδέτερος δὲ αὐτῶν μὴ τὴν ἐπωνυμίαν ἀμείψας, ἐπὶ τὴν θάλασσαν ἐξωθεῖται. ὁ μὲν γὰρ Ῥῆνος πᾶσαν τὴν Γαλατικὴν μεσόγειον τριχῇ διῃρημένην, εἰς Κελτικήν, Γερμανικὴν καὶ Γαλατικὴν διατρέχων, οὐκ ἄρδει μόνον αὐτὴν μετὰ Ῥοδανόν, ἀλλὰ καὶ φρουρεῖ, φυλάττων ἀνέφοδον. πρὸς δὲ τὸ πέρας σχεδὸν τῆς ῥύσεως εἰς Μόσον τὸν ποταμόν, γείτονα τοῦ βορείου πρὸς δύσιν ὠκεανοῦ, ὀλισθαίνων ἀποβάλλει μὲν τὴν οὖσαν αὐτῷ κατ' ἀρχὰς ἐπωνυμίαν, μετ' ἐκείνου δὲ τοῖς τῆς Βρεττανικῆς θαλάττης ἐπισύρεται κόλποις. ὁ δὲ Ἴστρος ἐάσας τὸν ἀδελφὸν Ῥῆνον πρὸς δύνοντα ἥλιον ἀναχωροῦντα αὐτὸς ἐπὶ τὴν [ἑῴα]ν μερίζεται. καὶ ἄχρι μὲν Παννονίας, ἣν Ἕλληνες Παιονίαν δι' εὐφωνίαν καὶ φυγὴν βαρβαρισμοῦ καινοτομοῦντες ἐκάλεσαν, καὶ Σιρμίου, τῆς πάλαι μὲν Ῥωμαίων εὐδαίμονος πόλεως, νῦν δὲ Γηπαιδῶν, τὴν ἰδίαν*

v. 8 cf. Caes. de bello Gall. I in.

v. 7 *ῥητορικῶν* O, corr. F 12 *διειρημένην* O, corr. F 14 *τοῦ Ῥοδανοῦ* coni. Th. Preger 17 *ὠκιανου* O, corr. F | *ολισθευων* O, corr. B 19 *τουτης*, quod in *τοις της* correxit, O 22 *παιωνίαν* O, corr. B 23 *κενοτομοῦντες* O, corr. F 24 *σειρμιου* O, corr. B 25 *γιπαιδων* O, corr. B

διασώζει προσηγορίαν· περὶ δὲ τὴν Θρᾳκίαν εἱλούμενος ἀποβάλλει μὲν παρὰ τοῖς ἐπιχωρίοις τὸ ἔμπροσθεν ὄνομα, Δανούβιος μετακληθείς· οὕτω δὲ αὐτὸν οἱ Θρᾷκες ἐκάλεσαν, διότι ἐπὶ ⟨τὰ⟩ πρὸς ἄρκτον ὄρη καὶ θρασκίαν ἄνεμον συννεφὴς ὁ ἀὴρ ἐκ τῆς ὑποκειμένης τῶν ὑγρῶν ἀμετρίας σχεδὸν διὰ παντὸς ἀποτελούμενος αἴτιος αὐτοῖς συνεχοῦς ἐπομβρίας ἀποτελεῖσθαι νομίζεται, Δανούβιον δὲ τὸν νεφελοφόρον ἐκεῖνοι καλοῦσι πατρίως. καὶ ταῦτα μὲν περὶ τῶν ποταμῶν ὡς ἐν παρεκβάσει κατὰ Σαμω[νι]κὸν τὸν Ῥωμαῖον ἱστορικόν, ὃς πρὸς Διοκλητιανὸν καὶ Γαλέριον τὸν γέροντα περὶ ποικίλων ζητημάτων διελέχθη.

33. *Κωνσταντῖνος οὖν Σκυθίαν τε καὶ Μυσίαν καὶ τοὺς ἐξ αὐτῶν φ[ό]ρους, ὡς ἔφην, ἀπώλεσε. Συρίαν δὲ ὅλην καὶ Παλαιστίνην — μία δέ ἐστι χώρα καὶ διὰ μόνον ἀριθμὸν εἰς πλῆθος ἀνάγεται — ἐπαρχίας ἀναδείξας, ἐδεήθη ὕπαρχον μετὰ τὸν Λιβύης καὶ Γαλατίας Ἰλλυρίδος τε καὶ Ἰταλίας, καὶ τῆς ἑῴας προχειρίσασθαι, σκεπτόμενος, ὡς αὐτὸς ὁ βασιλεὺς ἐν τοῖς ἑαυτοῦ λέγει συγγράμμασι, Πέρσαις ἀδοκήτως ἐπελθεῖν. ἠπίστατο γὰρ Κωνσταντῖνος, πολὺς ὢν ἔν τε παιδεύσει*

v. 14 vide supra III 31 20 Hist. Rom. fragm. coll. H. Peter p. 365

v. 3 *μεταβάλλει O*, *μεταβάλλει ⟨δὲ⟩* coni. *F*, *μετακληθείς* correxi e codice Paris. suppl. gr. 607 A (ed. Max. Treu, Progr. Gymn. Ohlau 1880), qui f. 64ᵛ verba *οὗτος ὁ Ἴστρος* (p. 120, 20) —*καλοῦσι πατρίως* (v. 8. 9) exhibet; vide quid de hoc codice dixerim in prolegomenis libro de mensibus Lydiano praemissis p. XVII sequ. 4 *ἐπὶ O*, *εἰς* Par., *ἐπεὶ πρὸς* coni. *F*, *περὶ B* | *τὰ* add. *B*, legitur in Par. | *ἄρκτον O* et Par., *ἀρκτῷα* coni. *F* 5 *θρασκαιαν O*, corr. *F* | *συνεφὴς O*, corr. *F* 10 *σαμω* . . |*κον O*, suppl. *F* | *ῥωμαιων O*, corr. *F* 11 *ὡς O*, ὃς corr. *F* 14 *φ* . . |*ρους O*, *φρούρους* legit et emendavit *F* 15 παλεστί-νην *O*, corr. *F* 18 προχωρίσασθαι O, corr. F

λόγων καὶ συνασκήσει ὅπλων — οὐδὲ γάρ, εἰ μὴ καθ' ἑκατέραν παίδευσιν ἔτυχέ τις διαπρέπων, βασιλεὺς Ῥωμαίων προεχειρίζετο —, μὴ εἶναι ῥᾴδιον ἄλλως καταπολεμηθῆναι Πέρσας, μὴ ἐξαπίνης αὐτοῖς ἐπιχεομένης ἐφόδου. καὶ συγγραφὴν περὶ τούτου μονήρη Κέλσος ὁ Ῥωμαῖος τακτικὸς ἀπ[ο]λέλοιπε σαφῶς ἀναδιδάσκων, ὡς οὐκ ἄλλως Πέρσαι Ῥωμαίοις παραστήσονται, ⟨εἰ⟩ μὴ αἰφνιδίως εἰς τὴν ἐκείνων χώραν Ῥωμαῖοι γνόφου δίκην ἐνσκήψουσιν, αἰτίαν οὐκ ἔξω λόγου παρασχόμενος· ἡ δὲ τοιαύτη ἐστίν.

34. *Περσῶν ὁ δῆμος ὅλος καὶ σύμπαν ἁπλῶς τὸ ἔθνος εἴωθεν ἐπὶ πόλεμον ὁρμᾶν, ὡς καὶ Ῥωμαῖοι πρὸ τῆς Μαρίου τῶν λεγομένων λεγιώνων διατάξεως. διχοτομοῦντες οὖν ἄνθρωπον αὐτοὶ διὰ μέσου τῶν δύο τοῦ σώματος τομῶν διαβιβάζουσι τὸν στρατόν. δῆλον γάρ, ὡς οὐχ ὡρισμένα οὐδὲ εὐτρεπῆ στρατεύματα τρέφουσιν οἱ Πέρσαι, ὡς ἑτοίμους εἶναι πρὸς τὰς μάχας, ὥσπερ οἱ Ῥωμαῖοι. χρόνου δεῖ τοίνυν αὐτοῖς εἰς παρασκευὴν στρατοῦ καὶ δαπάνης ἀποχρώσης τῷ πολέμῳ· ὥστε ἁρμόδιόν φησιν ὁ Κέλσος ἀδοκήτως αὐτοῖς ἐπελθεῖν καὶ μάλιστα διὰ τῆς Κολχίδος τὰ προοίμια τῆς ἐφόδου λαμβανούσης· Λαζικὴν αὐτὴν ἐξ ἡγεμόνος ἐπιφημίζουσιν οἱ καθ' ἡμᾶς. ἡ γὰρ δυσχωρία Πέρσαις ἱππηλατοῦσι δυσέμβατος· ὅθεν ἀφόρητος αὐτοῖς ὁ Κορβούλων ἐπὶ τοῦ Νέρωνος ἐφάνη· τὰς γὰρ ἐκδρομὰς αὐτῶν, τὰς ἐν ταῖς ἐρημίαις τῆς Περσίδος διὰ τῆς Ὑρκανῆς, ἀποκλείσας, τὴν ἐκ τῆς φυγῆς νίκην ἀφεῖλεν·*

v. 1 *καθετέραν* *O*, corr. *F* 7 *αλλος* *O*, corr. *F* | *εἰ* add. *F* ep. p. 37 et *B* 20 *αδοκητος* *O*, corr. *F* 21 *κάλχιδος* *O*, corr. *F* 24 *κουρβολων* *O*, quod correxi 27 *αποκλίσας* *O*, corr. *F*

ὡς ἐν στενωπῷ, ὅσον ἧκεν εἰς ⟨τὰς⟩ Περσικὰς πολυπληθείας, ζωγρηθέντας εἰς μόνην τὴν πρὸς τῷ Μυγδονίῳ Ἀντιόχειαν — Νίσιβιν αὐτὴν ἑλόντες μετεκάλεσαν οἱ Πέρσαι — καταφυγεῖν, ἣν καὶ αὐτὴν ἀπέλιπον, τὸ τηνικαῦτα δίκην πρηστήρων τῶν Ῥωμαίων αὐτοῖς ἐπικειμένων.

35. Ταύτης οὖν τῆς ἐννοίας ὁ Κωνσταντῖνος γενόμενος καὶ ὕπαρχον ἐπὶ τῆς ἕω χειροτονήσας διαψηφιστὰς αὐτῷ κατεστήσατο τῶν φόρων ἄνδρας αἰδεσίμους καὶ περὶ λεπτότητα λογισμῶν παρασκευασαμένους. ἰδιωτικῷ τοίνυν σχήματι στελλόμενοι παρῆσαν ἐν τῷ δικαστηρίῳ, μηδὲν ἕτερον παρὰ τοὺς λογισμοὺς ἀνὰ χεῖρας ἔχοντες, σκρινιάριοι χρηματίζοντες — ἀντὶ τοῦ χαρτοφύλακες, ὅτι σκρινίον τὴν δρυφακτικὴν λάρνακα Ῥωμαῖοι καλοῦσι —, καὶ διέμεινεν ἡ προσηγορία παρ' αὐτοῖς μόνη. οὐ μὴν ἐν στρατείᾳ ἐτέλεσαν οὐδὲ τὴν ἰδιωτῶν τύχην ἐξῆλθον, ὡς αἱ παλαιαὶ διδάσκουσι μάτρικες. ἐπὶ δὲ Θεοδοσίου τοῦ πρώτου, ὡς εἶδον ἑαυτοὺς μὲν ἠμελημένους, τοὺς δὲ τῆς τάξεως διοικοῦντας τότε τὰ πράγματα, ἑαυτοὺς διαγράψαντες καὶ χρυσίον εἰς φίλτρα διαθροίσαντες ἐδεήθησαν τῆς βασιλείας συναριθμηθῆναι τῇ τάξει· καὶ τυχόντες καὶ τὰς λεγομένας προβατωρίας πορισάμενοι εἰς μὲν ἀδιούτορας — οἱονεὶ βοηθούς — ἀνηνέχθησαν ἴσα τοῖς ἄλλοις· τὸ δὲ Αὐγουσταλίων ὄνομα πριάμενοι τιμίως ἄχρι Λέοντος ὡσεὶ μηδὲ στρατευόμενοι, ὅσον πρὸς τοὺς ἀπὸ τῆς τάξεως, ἐνομίσθησαν. οὐδὲ γὰρ οἶδεν αὐτοὺς ἡ Ῥω-

v. 1 ἧκε τῆς Περσικῆς coni. *F* ep. p. 37 | τὰς addidi 2 μυγδωνιαντιστοιχιαν *O*, corr. *F* 3 νισηβιν *O*, corr. *F* 4 καταφυγὴν *O*, corr. *F* 8 διαψηφισας *O*, corr. *F* 14 δρυφακτην *O*, corr. *F* ep. p. 37 20 τατε *O*, τότε corr. *F* 21 φιλτρας *O*, quod correxi | διαθρύσαντες *O*, corr. *F* 23 πραιβατορίας *O*, corr. *F*

μαίων παλαιότης· ὅθεν τῆς ἀρχῆς ἔτι καὶ νῦν ἐπὶ τοῦ βήματος προϊούσης ἐξόπισθεν ὑποχωροῦντες παρέπονται, μόνης τῆς τάξεως, στιχηδὸν διευθυν⟨θείσης, παραπεμπ⟩ούσης τὸν ὕπαρχον. εἰκόνα οὖν τῷ βασιλεῖ ἀργυρήλατον ὅλην ἐπὶ κίονος ἀναστήσαντες τὸ πάλαι καλούμενον Πλακωτὸν πρὸς τῷ ὡρολογίῳ τῆς πόλεως διεκόσμησαν, ὡς ἐν τοῖς ἀρχείοις τοῦ δημοσίου [ἰνστ]ρουμέντου ηὗρον ἱστορημένον. καὶ μὲν ἡ στήλη καθ' ἡμᾶς ἐπὶ τὰ χρειωδέστερα ἔργα τῆς πόλεως προσεχώρησεν· ὁ δὲ κίων πρὸ τῆς ἐν τῷ λεγομένῳ Ἑβδόμῳ ἀγορᾶς ἀναστὰς τῇ τοῦ κρατίστου ἡμῶν βασιλέως εἰκόνι σεμνύνεται.

36. Ηὐξήθη δὲ λοιπὸν τὰ τῶν σκρινιαρίων ἀπὸ τῆς Ζήνωνος βασιλείας τοσοῦτον, ὅσον τὰ τῆς τάξεως ἔληξε· πολλῶν μὲν γὰρ ἄλλων καὶ Πολυκάρπου δὲ ἀπ' αὐτῶν εἰς τὴν ἀρχὴν ἁρπασθέντος ὑπὸ τῷ Ἀναστασίῳ, εἶτα καὶ Μαρίνου τὴν ὅλην ἀναζωσαμένου τῶν πραγμάτων διοίκησιν, ὃς καὶ αὐτὸς εἷς τῶν τῆς Συρίας σκρινιαρίων ἐτύγχανε, καὶ τὸ λοιπὸν οὐχ ἑτέρου ἢ αὐτῶν σχεδὸν καὶ μόνων τὴν ἀρχὴν ἐκδεχομένων, διὰ τὴν τῶν φόρων ἐλάττωσιν εἰς παντελῆ ἀπώλειαν ⟦τὰ τῆς τάξεως κατ⟧[έστη]. καγκελλάριοι γὰρ αὐ[τοὶ καὶ] λογο[θέται] ⟦καὶ τῆς θείας⟧ καὶ γενικῆς τραπέζης διοικη[ταί, τῆς ἀρχαίας συ]νηθείας ἐχούσης, μηδένα εἰς τὸ τοῦ λεγο[μένου κα]γκελλαρίου λειτούργημα ἢ μόνους τοὺς εὐδοκιμοῦντας ἐκ τῶν Αὐγουσταλίων καὶ ταχυγράφων παριέ[ναι], ἐπεὶ καὶ δύο μόνους καγκελλαρίους

v. 3 διευθουννούσης *O*, quod emendare studui; διιθυννούσης coni. *F* 7 ἀρχαῖς *O*, ἀρχαίοις coni. *F*, ἀρχείοις scripsi 16 ὑπὸ τῶν *O*, corr. *F* 18 ὡς *O*, ὃς corr. *F* 19 ει αυτων *O*, ἢ αὐτῶν corr. *F* 20 μόνον *O*, corr. F 21—23 suppl. F 24 εις τὴν *O*, εἰς τὸ corr. *F*

τὸ δικαστήριον [ἐγνώριζεν], οἷς καὶ χρύσινος εἷς καθ' ἡμέραν ἀπὸ τοῦ [δημο]σίου ἀφώριστο. ἡ δὲ αἰτία τῆς προσηγορίας ὧδε.

37. [Τὸ π]ρὶν καθομαλοῦ ἐν τοῖς δικαστηρίοις — ὥσπερ ἔτι καὶ νῦν [ἐν] τοῖς ἐπιχωρίοις ἐστίν — ἔρυμα, καὶ ὡς ἄν τις [εἴποι, διάφρ]αγμα ξυλουργές, ἀπὸ σχιδάκων μακρῶν ἀν[τιπλαγιαζομένων] ἐφ' αὐτοὺς καὶ διόπτρας [ὀξυτελεῖ]ς, καθά[περ] δικτύου τινός, ἀποτελούντων, ἐπὶ [μέσου διέτεινε τοῦ] δικαστηρίου, χωρίζον τὸν [ἄρχον]τα τῶν ὑποδ⟦ίκων⟧· κάγκελλον [αὐτὸ] οἱ Ῥωμαῖοι καλοῦσιν ὑποκοριστ[ικῶς] ἀντὶ το[ῦ δικτύδιον], ὅτι πρωτοτύπως κάσσης [αὐτοὶ] τὰ δίκτυα λέγουσιν, ὑποκοριστ[ικῶς δὲ] καγκέλλους. ἐπὶ τού[του] ⟨τοῦ⟩ διατμήματος ἵσταντο δύο ἀφ' ἑκατέρας πλευρᾶς καγκελλάριοι, ἐκ τοῦ πράγματος ἐπιφημιζόμενοι· δι' ὧν, ἐπεὶ μηδεὶς ἐθάρρει, ἀλλ' οὐδὲ συνεχωρεῖτο προσψαῦσαι τῷ βήματι, οἵ τε πρὸς ὑπογραφὴν χάρται τῇ ἀρχῇ προσεφέροντο ἥ τε τῶν ἀναγκαίων ἐγίγνετο μήνυσις. ἀλλ' ἤδη πρότερον εἰς πλῆθο[ς τοῦ ἀξιώ]ματος ὑβρισθέντος, τὸ μὲν δη[μόσιον ἀνήρτησε] τὴν ἐπίδοσιν, πάντες δὲ σχεδὸν οἱ ὁπωσοῦν δικα⟦στηρίοις⟧ περικείμενοι καγκελλάριοι καθ' ἡμᾶς χ[ρηματίζ]ουσι, καὶ οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ οἱ ἐν ταῖς ἐπαρχίαις χαλκολογοῦντες τὸ καγκελλαρίων περιάπτουσιν ἑαυτοῖς ἀξίωμα, ὅπως αὐτοῖς τὰ τῶν ἐπαρ⟦χιῶν⟧ ἀδεῶς προσάγοιτο.

38. Τοιαῦτα μὲν τὰ περὶ τῆς συγχύσεως καὶ τοῦδε

v. 6 *διαφραγμον O*, corr. *F* 10 *υποδ .... O*, quod explevi; *ὑπ'* ⟦*αὐτὸν*⟧ *F* 11 *δικτυδιον O*, corr. *F* ep. p. 296 et *B* 13 *τουτου O*, *τοῦδε* coni. *F* 14 *τοῦ* add. *F* 16 *μηδεθαρρει O*, corr. *F* 21 *δικα* .... O, quod explevi 25 *ἐπαρ .... O*, quod supplevi; *εὐηφενῶν* F 26 post *σχήματος* (p. 126, 1) paragraphos distinguit F

τοῦ σχήματος· τοῖς δὲ σκρινιαρίοις προστέθεινται καὶ οἱ τοῦ στρατιωτικοῦ, οἱονεὶ ἀννωνιακοῦ προεστηκότες φροντίσματος· οὐχ ὅ[τι καὶ αὐτοὶ μέρος ἐτύγ]χανον τῆς παλαιᾶς ὄψεως τοῦ δικαστηρίου, ἀλλ' ὅτι τῶν στρατηγικῶν παρωθηθέντων σκρινιαρίων, καὶ τούτων συνέβη ἀποτελεσθῆναι τὸν κατάλογον. τῇ δὲ βασιλέως ἀρετῇ τὸ πρὸς ἄλλων ἐπηρείας ἐξηυρῆσθαι νομισθὲν εἰς λυσιτελοῦν καλῶς διοικούμενον ἀπεδείχθη. τοῦ γε μὴν σιτωνικοῦ ἀνέκαθεν ὑπὸ τὴν πολιαρχίαν τελοῦντος, δυνάμει δὲ καὶ αὐθεντίᾳ τοῦ βδελυροῦ Καππαδόκου — περὶ οὗ μικρὸν ὕστερον ἐρῶ — ἀφαιρεθέντος — προσδεῖν γὰρ ᾤετο τοῖς κατὰ τῶν ἐπαρχιῶν ἀδικ[ήμασιν] αὐτοῦ καὶ αὐτὴν τὴν βασιλέως πόλιν ὑπαγαγεῖν — μόνος Γαβριήλιος πολιαρχῶν ἀποκατέστησεν ἐκεῖνο τῷ δικαστηρίῳ· πέφυκε γὰρ ὁ βασιλεύς, καλὸς ὢν καὶ ἐλεύθερος, ἐρυθριᾶν τοὺς γένει καὶ βίῳ καὶ φιλοτιμίᾳ ζηλοῦντας [αὐτὸν] κατὰ δύναμιν. αὐτοῦ δὲ Γαβριηλίου [τὴν ἀρχὴν ἀπο][[δυσα]]μένου αὖθις πρὸς τὸ μεῖζον ἡ φροντὶς τῆς εὐθηνίας δικαστήριον ἐπανῆλθεν· ὡς δῆλον ἀντικρὺ πᾶσιν ἀποδει[χθῆ]ναι, ὅτι Γαβριηλίῳ κατ' ἀξίαν χαίρων ὁ βασιλεὺς ἐνδέδωκεν. ἔδει γὰρ αὐτόν, ἄνδρα ἀγαθὸν ὄντα καὶ ταῖς ἀρεταῖς ἀσύγκριτον, τὸ πλέον εὑρεῖν παρὰ βασιλεῖ τιμῶντι δικαιοσύνην τε καὶ θεοφιλίαν καὶ γένους λαμπρότητα.

39. Ὑπόλοιπον ἄρα τυγχάνει τὰς αἰτίας τῆς ἐλαττώσεως καὶ τῆς τοσαύτης τῶν πραγμάτων παραλλαγῆς ἀποδοῦναι. κἂν εἰ τυχὸν αὐτὴν τὴν ἀρχὴν ἑαυτῆς καὶ

v. 11 vide infra III 57

v. 2 τοῦ O, σίτου coni. *F* 9 σιτονικου *O*, corr. *F* | *τελοῦντων O*, corr. *F* 14 εκεινω O, corr. B 18 ἀπο[[δεξα]]μένου *suppl. F, ἀπο[[δυσα]]μένου* Gu. Kroll

τὸ δικαστήριον [ἐγνώριζεν], οἷς καὶ χρύσινος εἷς καθ' ἡμέραν ἀπὸ τοῦ [δημο]σίου ἀφώριστο. ἡ δὲ αἰτία τῆς προσηγορίας ὧδε.

37. [Τὸ π]ρὶν καθομαλοῦ ἐν τοῖς δικαστηρίοις — ὥσπερ ἔτι καὶ νῦν [ἐν] τοῖς ἐπιχωρίοις ἐστίν — ἔρυμα, καὶ ὡς ἄν τις [εἴποι, διάφρ]αγμα ξυλουργές, ἀπὸ σχιδάκων μακρῶν ἀν[τιπλαγιαζομένων] ἐφ' αὐτοὺς καὶ διόπτρας [ὀξυτελεῖ]ς, καθά[περ] δικτύου τινός, ἀποτελούντων, ἐπὶ [μέσου διέτεινε τοῦ] δικαστηρίου, χωρίζον τὸν [ἄρχον]τα τῶν ὑποδ⟦ίκων⟧· κάγκελλον [αὐτὸ] οἱ Ῥωμαῖοι καλοῦσιν ὑποκοριστ[ικῶς] ἀντὶ το[ῦ δικτύδιον], ὅτι πρωτοτύπως κάσσης [αὐτοὶ] τὰ δίκτυα λέγουσιν, ὑποκοριστ[ικῶς δὲ] καγκέλλους. ἐπὶ τού[του] ⟨τοῦ⟩ διατμήματος ἵσταντο δύο ἀφ' ἑκατέρας πλευρᾶς καγκελλάριοι, ἐκ τοῦ πράγματος ἐπιφημιζόμενοι· δι' ὧν, ἐπεὶ μηδεὶς ἐθάρρει, ἀλλ' οὐδὲ συνεχωρεῖτο προσψαῦσαι τῷ βήματι, οἵ τε πρὸς ὑπογραφὴν χάρται τῇ ἀρχῇ προσεφέροντο ἥ τε τῶν ἀναγκαίων ἐγίγνετο μήνυσις. ἀλλ' ἤδη πρότερον εἰς πλῆθο[ς τοῦ ἀξιώ]ματος ὑβρισθέντος, τὸ μὲν δη[μόσιον ἀνήρτησε] τὴν ἐπίδοσιν, πάντες δὲ σχεδὸν οἱ ὁπωσοῦν δικα⟦στηρίοις⟧ περικείμενοι καγκελλάριοι καθ' ἡμᾶς χ[ρηματίζ]ουσι, καὶ οὐκ αὐτοὶ μόνον, ἀλλὰ καὶ οἱ ἐν ταῖς ἐπαρχίαις χαλκολογοῦντες τὸ καγκελλαρίων περιάπτουσιν ἑαυτοῖς ἀξίωμα, ὅπως αὐτοῖς τὰ τῶν ἐπαρ⟦χιῶν⟧ ἀδεῶς προσάγοιτο.

38. Τοιαῦτα μὲν τὰ περὶ τῆς συγχύσεως καὶ τοῦδε

v. 6 *διαφραγμον O*, corr. *F* 10 *υποδ .... O*, quod explevi; *ὑπ'* ⟦*αὐτὸν*⟧ *F* 11 *δικτυδιον O*, corr. *F* ep. p. 296 et *B* 13 *τουτου O*, *τοῦδε* coni. *F* 14 *τοῦ* add. *F* 16 *μηδεθαρρει O*, corr. *F* 21 *δικα .... O*, quod explevi 25 *ἐπαρ .... O*, quod supplevi; *εὐηφενῶν F* 26 post *σχήματος* (p. 126, 1) paragraphos distinguit F

τοῦ σχήματος· τοῖς δὲ σκρινιαρίοις προστέθεινται καὶ οἱ τοῦ στρατιωτικοῦ, οἱονεὶ ἀννωνιακοῦ προεστηκότες φροντίσματος· οὐχ ὅ[τι καὶ αὐτοὶ μέρος ἐτύγ]χανον τῆς παλαιᾶς ὄψεως τοῦ δικαστηρίου, ἀλλ' ὅτι τῶν στρατηγικῶν παρωθηθέντων σκρινιαρίων, καὶ τούτων συνέβη ἀποτελεσθῆναι τὸν κατάλογον. τῇ δὲ βασιλέως ἀρετῇ τὸ πρὸς ἄλλων ἐπηρείας ἐξηυρῆσθαι νομισθὲν εἰς λυσιτελοῦν καλῶς διοικούμενον ἀπεδείχθη. τοῦ γε μὴν σιτωνικοῦ ἀνέκαθεν ὑπὸ τὴν πολιαρχίαν τελοῦντος, δυνάμει δὲ καὶ αὐθεντίᾳ τοῦ βδελυροῦ Καππαδόκου — περὶ οὗ μικρὸν ὕστερον ἐρῶ — ἀφαιρεθέντος — προσδεῖν γὰρ ᾤετο τοῖς κατὰ τῶν ἐπαρχιῶν ἀδικ[ήμασιν] αὐτοῦ καὶ αὐτὴν τὴν βασιλέως πόλιν ὑπαγαγεῖν — μόνος Γαβριήλιος πολιαρχῶν ἀποκατέστησεν ἐκεῖνο τῷ δικαστηρίῳ· πέφυκε γὰρ ὁ βασιλεύς, καλὸς ὢν καὶ ἐλεύθερος, ἐρυθριᾶν τοὺς γένει καὶ βίῳ καὶ φιλοτιμίᾳ ζηλοῦντας [αὐτὸν] κατὰ δύναμιν. αὐτοῦ δὲ Γαβριηλίου [τὴν ἀρχὴν ἀπο][δυσα]μένου αὖθις πρὸς τὸ μεῖζον ἡ φροντὶς τῆς εὐθηνίας δικαστήριον ἐπανῆλθεν· ὡς δῆλον ἀντικρὺ πᾶσιν ἀποδει[χθῆ]ναι, ὅτι Γαβριηλίῳ κατ' ἀξίαν χαίρων ὁ βασιλεὺς ἐνδέδωκεν. ἔδει γὰρ αὐτόν, ἄνδρα ἀγαθὸν ὄντα καὶ ταῖς ἀρεταῖς ἀσύγκριτον, τὸ πλέον εὑρεῖν παρὰ βασιλεῖ τιμῶντι δικαιοσύνην τε καὶ θεοφιλίαν καὶ γένους λαμπρότητα.

39. Ὑπόλοιπον ἄρα τυγχάνει τὰς αἰτίας τῆς ἐλαττώσεως καὶ τῆς τοσαύτης τῶν πραγμάτων παραλλαγῆς ἀποδοῦναι. κἂν εἰ τυχὸν αὐτὴν τὴν ἀρχὴν ἑαυτῆς καὶ

v. 11 vide infra III 57

v. 2 τοῦ *O*, σίτου coni. *F* 9 σιτονικου *O*, corr. *F* | τελούντων *O*, corr. *F* 14 εκεινω *O*, corr. *B* 18 ἀπο[δεξα]-μένου suppl. *F*, ἀπο[δυσα]μένου Gu. Kroll

μείζονα καὶ κλεινοτέραν τῇ βασιλέως ἀγρυπνίᾳ ἔτι νῦν ἔστι συνιδεῖν — οὐδὲ γὰρ μέλος ἐστὶ τῆς ὅ πολιτείας, ὃ μὴ καθόλου εἰς ὕψος τε ἅμα καὶ δύνα ἰσχυρὰν ὁ βασιλεὺς μετὰ κάλλους ἀνέστησε, περινοσι ἅμα καὶ περιθεώμενος, μήτε τῶν ἀνέκαθεν ὑπαρξ των αὐτῇ γνωρισμάτων, ὃ μὴ μετὰ προσθήκης ι ἀρετῶν ὑπολάβοι —, ἀλλ' ⟦οὖν⟧ ὁ χρόνος λυμαντι ὢν κατὰ φύσιν τὰ πολλὰ τῶν τῆς πειθομένης τῇ ἀ τάξεως, χρειώδη ἅμα καὶ κόσμια, ἢ παντελῶς ἔσβε ἢ τοσοῦτον ἐνήμειψεν, ὡς ἴχνος ἀμυδρὸν τῶν π θαυμαζομένων τὸ λοιπὸν διασώζειν, τῆς μὲν ἀρχῆς τῇ σφετέρᾳ δυνάμει συνισταμένης, τῆς δὲ τάξεως, ι μὲν ἐκ τῶν ἐκείνης παραλλαγῶν, νῦν δὲ ἐκ τῶν οἰκει ῥαθυμιῶν — εἰ μὴ θεὸς καὶ βασιλεὺς οὗτος ὁ πά καλὸς ἐπεκούρει — ἐγγὺς εἰς παντελῆ κατάλυσιν ἰ σθαινούσης. εἰ δέ που τυχὸν τῷ περὶ τὴν κοι ἐλευθερίαν ζήλῳ τινὸς τῶν μὴ κατὰ σκοπὸν τῆς βο λέως καλοκἀγαθίας τὰς ἀρχὰς διανυσάντων δριμύτει ἠρέμα προϊὼν ὁ λόγος καθάψεται, μὴ ταῖς ἀρχ αὐταῖς, ἀλλὰ τοῖς οὐ προσηκόντως ἀποχρησαμέν αὐταῖς τὴν ἀγανάκτησιν οἱ σωφρόνως εἰς τὰ πράγμ βλέποντες ἀναγέτωσαν. οὐδὲ γὰρ τοὺς κακοὺς ἐλέγχ μόνον ὁ λόγος ἐτόλμησεν, ἀλλὰ καὶ τοὺς ἀγαθούς, καὶ μὴ κατ' ἀξίαν, ἐκόσμησεν. οὕτω γὰρ ὑβρίζειν τὴν ἐλευθερίαν καὶ σπαράττειν τοὺς ὑπηκόους οἱ ὅρον τῆς ἀρχῆς ἀγνοοῦντες ἐντραπήσονται, οἵ τε λοῦντες τὴν βασιλέως πρᾳότητα καὶ πρὸς τὰς ἄλ

v. 7 *αλλ ... ὁ O*, ⟦*ὅτι*⟧ suppl. *F*, ⟦*οὖν*⟧ *B* 15 *καλῶς* corr. *F* | *ὀλισθενούσης O*, corr. *F* 16 *το O*, *τῷ* corr. *F* 18 *ταραρχας*, quod in *τας αρχας* correxit, O 19 *καθαν ταις*, postea addito *μή*, *O* 23 *μόνους* O, corr. F

ἀρετὰς αὐτοῦ ὀξεῖ τῷ δρόμῳ σπουδάσουσι. καιρὸς δὲ ἄρα τὴν ἀφήγησιν διελθεῖν καὶ τὰς αἰτίας εἰπεῖν, ὧν ἕνεκα τὰ τῆς τάξεως ἐπὶ τοσαύτην ἐναλλαγὴν κατηνέχθη.

40. Κωνσταντίνου, ὥσπερ ἔφην, μετὰ τῆς Τύχης τὴν Ῥώμην ἀπολιπόντος καὶ τῶν δυνάμεων, ὅσαι τὸν Ἴστρον ἐφρούρουν, ἐπὶ τὴν κάτω Ἀσίαν ψήφῳ τοῦ βασιλέως διασπαρεισῶν, Σκυθίαν μὲν καὶ Μυσίαν καὶ τοὺς ἐξ ἐκείνων φόρους ἐζημιώθη τὸ δημόσιον, τῶν ὑπὲρ Ἴστρον βαρβάρων μηδενὸς ἀνθισταμένου κατατρεχόντων τὴν Εὐρώπην· τῶν δὲ πρὸς τὴν ἕω δασμοῖς οὐ μετρίως βαρυνθέντων, ἀνάγκη γέγονε τὸν ὕπαρχον μηκέτι μὲν τῆς αὐλῆς καὶ τῶν ἐν ὅπλοις ἄρχειν δυνάμεων, τῆς μὲν τῷ λεγομένῳ μαγίστρῳ παραδοθείσης, τῶν δὲ τοῖς ἄρτι προελθοῦσι στρατηγοῖς ἐκτεθεισῶν, ἀλλ' οὖν ὕπαρχον τῆς ἀνατολῆς χρηματίζειν. διεσύρη δὲ οὐδὲν ἧττον θανατῶσα καθ' ἑκάστην ἡ τῆς ἀρχῆς δυναστεία ἄχρι τῆς Ἀρκαδίου, τοῦ πατρὸς Θεοδοσίου τοῦ Νέου, βασιλείας· ἐφ' οὗ συμβέβηκε Ῥουφῖνον τὸν ἐπίκλην ἀκόρεστον, ὃς ἦν ὕπαρχος αὐτῷ, τυραννίδα μελετήσαντα τοῦ μὲν σκοποῦ ὑπὲρ λυσιτελείας τῶν κοινῶν ἐκπεσεῖν, εἰς βάραθρον δ' ἀχανὲς τὴν ἀρχὴν καταρρῖψαι. αὐτίκα μὲν γὰρ ὁ βασιλεὺς τῆς ἐκ τῶν ὅπλων ἰσχύος ἀφαιρεῖται τὴν ἀρχήν, εἶτα τῆς τῶν λεγομένων φαβρικῶν οἱονεὶ ὁπλοποιϊῶν ἐξουσίας, τῆς

v. 5 vide supra II 10 III 31. 33

v. 1 *αὐτους O, αὐτοῦ* corr. *F* | *σπουδάσωσι O*, mutavit *F* 6 *ἀπολειποντος O*, corr. *F* 11 *δασμως*, quod in *δασμῶ'* mutavit *O*; e II 10 corr. *F* 12 *μετρίοις* legitur II 10 in *O* | *βαρηθέντων O*, e II 10 corr. *F* 13 *δυναμένων O*, e II 10 corr. *F* 15 *προσελθοῦσι O*, corr. *F* | *στρατηγικοῖς O*, e II 10 corr. *F* 16 *ἄλλων O, ἀλλ' οὖν* corr. *F*

⟨τε⟩ τοῦ δημοσίου δρόμου φροντίδος καὶ τῆς ἑτέρας αὐθεντίας, δι' ὧν τὸ λεγόμενον συνέστη μαγιστέριον. ὡς δὲ δύσεργον ἦν, ἀποτρέφειν μὲν τὸν ὕπαρχον ἀνὰ τὰς ἐπαρχίας τοὺς δημοσίους ἵππους καὶ τοὺς αὐτοῖς ἐφεστῶτας, ἑτέρους δὲ κεκτῆσθαι τὴν ἐπ' αὐτοῖς ἐξουσίαν καὶ διοίκησιν, νόμος ἐτέθη θεσπίζων, ἀντέχεσθαι μὲν τὸν ὕπαρχον τῆς τοῦ δημοσίου δρόμου φροντίδος, τὸν πρῶτον μέντοι τῶν φρουμενταρίων — πρίγκιπα αὐτὸν σήμερον τοῦ μαγιστερίου καλεῖσθαι συμβαίνει — παρεῖναι διὰ παντὸς τῷ δικαστηρίῳ τοῦ τῶν πραιτωρίων ὑπάρχου καὶ πολυπραγμονεῖν καὶ τὰς αἰτίας ἐξερευνᾶν, ὧν ἕνεκα πολλοὶ πορειζόμενοι παρὰ τῆς ἀρχῆς τὰ λεγόμενα συνθήματα τῷ δημοσίῳ κέχρηνται δρόμῳ — ταύτῃ καὶ κουριῶσος ὠνομάσθη ἀντὶ τοῦ περίεργος· καὶ οὐκ αὐτὸς μόνος, ἀλλὰ καὶ πάντες, ὅσοι κἀν ταῖς ἐπαρχίαις τοῖς δημοσίοις ἐφεστήκασιν ἵπποις — προϋπογράφοντος τοῖς ἐπὶ τῷ δρόμῳ συνθήμασι καὶ τοῦ λεγομένου μαγίστρου. ὅτι δὲ οὕτως, αὐτῆς δυνατὸν ἀκοῦσαι τῆς διατάξεως, ἐν μὲν τῷ παλαιῷ Θεοδοσιανῷ κειμένης, ἐν δὲ τῷ νεαρῷ παροφθείσης.

41. Οὕτως οὖν ὥσπερ δι' ὑποβάθρων τινῶν καταφερομένης τῆς ἀρχῆς, τοὺς μὲν στρατιωτικοὺς καταλόγους ἔταξεν ἡ βασιλεία ὑπὸ τοῖς τότε καλουμένοις κόμισιν καὶ στρατηγοῖς, τὰς δὲ ἐν τῷ παλατίῳ τάξεις ὑπὸ τῷ πρωτεύοντι τῶν δυνάμεων τῆς αὐλῆς· ὃν καὶ

v. 20 cf. cod. Theod. VIII 5, 35

v. 1 *τε* e II 10 addidi 2 *μαγιστήριον O*, quod mutavi ad II 10 al. 3 *ωστε O*, *ὡς δὲ* e II 10 corr. *F* | *ἀποστρεφειν O*, corr. *F* 8 *μὲν τῶν O*, *μέντοι τῶν* corr. *F*, *τῶν* delet *F* ep. p. 38 9 *μαγίστρου O*, quod correxi 10 *πραιτωρίω O*, corr. *F* 21 *ὑποβαράθρων O*, e II 11 corr. F

αὐτὸν ἄρχοντα, οὐ μικρὸν καθάπερ τοὺς λεγομένους στρατηλάτας, αἱ τῆς ἐπαρχότητος ἐλαττώσεις ἀπετέλεσαν. τὰ γὰρ πολυτελῆ τῶν οἰκοδομημάτων καταλυόμενα πολλοῖς ἐπαρκεῖ πρὸς οἰκοδομήν. καὶ ἕως μὲν τοὺς βασιλέας ἐπεξιέναι δι' ἑαυτῶν τοῖς πολέμοις συνέβαινεν, εἶχέ τινα ἡ ἀρχή, εἰ καὶ μὴ τοσαύτην, πλὴν ὑπὲρ πάσας τὰς ἄλλας ἰσχύν τε καὶ δύναμιν· ἐξότε ⟨δὲ⟩ συνέβη τελευταῖον Θεοδόσιον νέον κομιδῇ τῆς βασιλείας ἐπιλαβέσθαι καὶ κατὰ τὴν τοῦ πατρὸς νομοθεσίαν μὴ συγχωρεῖσθαι τοῖς πολέμοις παρεῖναι, καὶ τούτου νόμῳ γενικῷ κωλυθέντος ἀπολέγοντι βασιλεῖ Ῥωμαίων ὁρμᾶν ἐπὶ πόλεμον, εἰκότως τοῖς μὲν στρατηγοῖς τὰ τῶν πολέμων, τῷ δὲ μαγίστρῳ τὰ τοῦ παλατίου γέγονε χώρα· ὡς μηδὲν ἕτερον ἔχειν τὸ λοιπὸν τὴν ἐπαρχότητα ἢ μόνον τὴν ἐπὶ ταῖς δαπάναις φροντίδα, ἣν εἰκός ἐστι γενέσθαι κατὰ τὸ ἀναγκαῖον περί τε τοὺς ἐξ αὐτῆς παραφυομένους ἄρχοντας καὶ περὶ ἐκείνους γε μήν, ὧν αὐτοὶ δῆθεν ἐτάχθησαν ἄρχειν.

42. Εἰ δέ τις καὶ τοὺς ἐκ τῶν προρρήσεων στοχασμούς, οὕς τινες καλοῦσι χρησμούς, ἐν ἀριθμῷ λόγων παραλαβεῖν ὑπομένοι, πέρας ἔλαβε τὰ Φοντηΐῳ τῷ Ῥωμαίῳ ῥηθέντα ποτέ· φησὶ γὰρ ἐκεῖνος καὶ στίχους τινὰς δοθέντας δῆθεν Ῥωμύλῳ ποτὲ πατρίοις ῥήμασιν ἀναφέρει τοὺς ἀναφανδὸν προλέγοντας, τότε Ῥωμαίους τὴν Τύχην ἀπολείψειν, ὅτε αὐτοὶ τῆς πατρίου φωνῆς

v. 5 διαυτων, quod correxit, *O* 8 δὲ e Π 11 add. *F* 10 πολεμίοις *O*, corr. *B* 14 γεγονα, quod correxit, *O* | μηδενι *O*, corr. *F* 16 ἣν *O*, ἃς coni. *F* | εικῶς *O*, e Π 11 corr. *F* 17 καιπερ, quod in καὶ περὶ correxit, *O* 20 οὓς *O*, ἃς coni. *F* 21 φωντηίω *O*, ego ut p. 1, 13 correxi 23 δεθεντας, quod correxit, *O* 25 ἀπέλειπεν *O*, e Π 12 corr. *F*

ἐπιλάθωνται· καὶ τὸν μὲν λεγόμενον χρησμὸν τοῖς περὶ μηνῶν γραφεῖσιν ἡμῖν ἐντεθείκαμεν. πέρας δὲ μᾶλλον ἔσχε τὰ τοιαῦτα μαντεύματα· Κύρου γάρ τινος Αἰγυπτίου, ἐπὶ ποιητικῇ ἔτι καὶ νῦν θαυμαζομένου, ἅμα τὴν πολίαρχον ⟨ἅμα⟩ τὴν τῶν πραιτωρίων ἐπαρχότητα διέποντος καὶ μηδὲν παρὰ τὴν ποίησιν ἐπισταμένου, εἶτα παραβῆναι θαρρήσαντος τὴν παλαιὰν συνήθειαν καὶ τὰς ψήφους Ἑλλάδι φωνῇ προενεγκόντος, σὺν τῇ Ῥωμαίων φωνῇ καὶ τὴν τύχην ⟨ἀπέβαλεν⟩ ἡ ἀρχή. νόμον γὰρ ἀντιγράφειν ὁ βασιλεὺς ἀνεπείσθη πάσης ἀφαιρούμενον ἐξουσίας τὴν ἐπαρχότητα· ἡ γὰρ ἄρτι καὶ κουφίσαι φόρους καὶ σιτήσεις καὶ φῶτα καὶ θέας καὶ ἀνανεώσεις ἔργων αὐθεντοῦσα ταῖς πόλεσιν ἐπιδοῦναι οὐκ ἤρκεσε τὸ λοιπὸν οὐδὲ ἐτόλμησε μικρᾶς γοῦν τινος παραψυχῆς ἐκ τῶν δημοσίων μεταδοῦναί τινι. ὁ δὲ καθ' ἡμᾶς Δημοσθένης, ὃς καὶ αὐτὸς ὕπαρχος ἦν, οὐδὲ μετὰ κέλευσιν ⟨τῶν⟩ τῆς βασιλείας γραμμάτων, χωρὶς εἰ μὴ πραγματικὸς ἡγήσατο νόμος, ἄδειαν ἔχειν [τὴν] ἐπαρχότητα ἐπιδοῦναι τοῖς ὑπηκόοις, κατεπράξατο, μὴ μόνον αὐτὸς εὖ ποιῆσαι τοὺς ὑποτελεῖς παραφυλαξάμενος, ἀλλὰ καὶ ἄλλοις τὸ λοιπὸν ἀποκλείσας. τῆς δὲ ἀρχῆς ἤδη καὶ αὐτὴν τὴν ἐπιπόλαιον ὄψιν ζημιωθείσης, ἠκολούθησε τοῖς τὰς δίκας λέγουσιν ἐκ-

1 de mens. p. 180, 10

1 *ἐπιλάθονται O*, e II 12 corr. *F* 5 *ἅμα* et 9 *ἀπέβαλεν* e II 12 add. *F* 10 *αὐτιγαρφειν O*, *αὐτιγράφειν* volebat *F*, qui *αὐτίκα γράφειν* coni. ep. p. 38; *ἀντιγράφειν* scripsi 12 *ορους O*, *φόρους* corr. *F* 13 *ἀνανεωσις O*, corr. *F* 14 *λογιον O*, *λοιπὸν* corr. *F* 17 *τῶν* addidi 18 *ἡ μὴ O*, *εἰ μὴ* corr. *F* | *πραγματικῶς O*, corr. *F* | *ηργησατο O*, *εἰργήσατο* coni. *F*, *ἡγήσατο* scripsi 20 *μόνος O*, corr. Gu. Kroll 21 *παραφυλαξαμένους O*, corr. *F* 22 *ἐπὶ πόλεων O*, corr. B \ *ὄψιν O*, *ἔποψιν* coni. *F* 23 ζημιωθεὶς εἰς O, corr. F

κλήτους εὐτελίσαι τὸ δικαστήριον ⟨τὸ⟩ παρὰ τὸ ⟨εἰωθὸς⟩ πάντη κεκωλυμένον. καὶ νόμῳ τοῦτο διωρίσθη· οὐ γὰρ ὑπέμεινεν ἡ βασιλέως πρᾳότης τοῖς δικαζομένοις τὴν ἀπὸ τῆς ἐφέσεως περικόπτειν ἐλπίδα, ἣν προθεωροῦντες οἱ δικάζοντες ἴσως ἀδεκάστως εἰς τὰ πράγματα εἰσβλέψουσι.

43. Τοσαῦτα περὶ τῆς ἀρχῆς ἐπιδακρύσας φημί. κωλύσει δὲ οὐδέν, ὥσπερ ἐν ὑποτυπώσει μνησθῆναι τῆς κατὰ μικρὸν ἐλαττώσεως· οὐ γὰρ ἄν τις ἐπιδείξει σαφῶς τὴν ἀφαίρεσιν, μὴ προαριθμησάμενος ταῦθ' ἃ παρόντα τὸ πρὶν ὕστερον ἀφηρέθη. μετὰ γοῦν Θεοδόσιον καὶ Μαρκιανὸν τὸν μέτριον ἐλθὼν ὁ Λέων καὶ τὸν πλοῦτον εὑρών, ὃν Ἀττίλας ὁ τῆς οἰκουμένης πολέμιος λαμβάνειν ἤμελλεν — ἦν δὲ ὑπὲρ τὰς χιλίας ἑκατοντάδας τοῦ χρυσίου λιτρῶν —, ὀγκωθεὶς τῇ δυνάμει ἔγνω Βανδήλοις, ἔθνει Γερμανικῷ, ἀπὸ τῆς ἀρκτῴας ἐπὶ τὰς Ἱσπανίας διὰ τοῦ Πυρηναίου ⟨μεταβάντι καὶ ἐκεῖθεν⟩ ἐνσκήψαντι τῇ Λιβύῃ, πολεμεῖν. μυρίαις οὖν ναυσὶ μακραῖς, ἃς καλοῦσι λιβύρνας, ἐπιστήσας στρατόν, οἷον ὁ μακρὸς ⟨οὔπω⟩ ἀπεθαύμασε χρόνος, εἰς ἐσχάτην ἀπορίαν περιέστησε τὴν ἀρχήν, ἀποτείνων αὐτὴν καὶ βιαζόμενος εἰς δαπάνην τεσσαρά-

v. 1 ἐκκλητοις *O*, quod correxi | τὸ et εἰωθὸς addidi 2 κεκωλυμένον ⟨ἐκκαλέσασθαι (aut ἐφιέναι), ἐξεῖναι⟩ supplebat Ed. Huschke, Incerti auctoris magistratuum et sacerdotiorum populi Romani expositiones ineditae, diss. Vratisl. 1829 p. 121 | ἀφωρίσθη coni. *F* ep. p. 39 6 τοσαῦτα — φημί contra codicis auctoritatem cum eis quae praecedunt iungit *F* 9. 10 ταυθαπερ οντα *O*, ταῦθ' ἅπερ ὄντα scripsit *F*, ταῦθ' ἃ παρόντα aut ταῦθ' ἃ ὑπάρχοντα coni. *B* 13 ημελλεν *O*, ἔμελλεν scripsit *F* 14 τοῦ del. *B* 15 γερμανικως *O*, corr. *F*, qui in sequentibus lacunam statuit, quam explere temptavi 19 μακρὸς ἀπεθαύμασε *O*, ⟨οὐκ⟩ add. *F*, οὔπω inserui 21 καὶ δαπάνην *O*, καὶ delebat in editione et retinebat in epist. p. 39 *F*, εἰς δαπάνην coni. *B*

κοντα μυριάσιν ἀνδρῶν πρὸς μάχην διαπόντιον κα- γῆς ἀλιμένοις ὅρμοις ὠχυρωμένης δυσχωρίαν καὶ βαρβάρων ὑπὲρ λόγον πλουτούντων δύναμιν ἀρκεῖν. ἀνάλωται γὰρ περὶ τὸν κακοδαίμονα πόλεμον ἐκεῖνον, Βασιλίσκου τῶν δεινῶν ἡγησαμένου, χρυσίου μὲν λιτρῶν μυριάδες ἓξ πρὸς πεντακισχιλίαις, ἀργύρου δὲ χιλιάδες λιτρῶν ἑπτακόσιαι, ἵππων δὲ καὶ ὅπλων καὶ ἀνδρῶν τοσοῦτον, ὅσον ἄν τις τῷ παντὶ χρόνῳ ἐκλιπεῖν καλῶς ἀφορίσηται.

44. Καὶ μετὰ ταῦτα πάντα ναυάγιον τῆς ὅλης πολιτείας. οὐ γὰρ ἀρκέσαντος τοῦ δημοσίου χρήματος, καὶ ὅσον ἦν ἴδιον τῇ βασιλείᾳ, πάντα τὰ τῶν στρατειῶν πληρώματα ταῖς ἀστοχίαις ἐναπώλετο τοῦ πολέμου· καὶ ἵνα μὴ μακρηγορῶ, ἐξ ἐκείνου τοῦ συμπτώματος οὐκέτι τὸ ταμιεῖον ἐπήρκεσεν ἑαυτῷ, ἀλλὰ προσδαπανᾷ τοῖς πράγμασι πρὸ καιροῦ τὰ μήπω ἐν ἐλπίδι, ἤγουν τοῖς ὑποτελέσιν ὄντα, ὡς ἀπέραντον εἶναι τὴν ἀπορίαν τοῦ δημοσίου. ἐπιλείποι δὲ ἂν ἡμᾶς ὁ χρόνος, εἰ τὰς ὑπὸ Λέοντι πεσούσης τῆς πολιτείας ἀπαριθμησώμεθα συμφοράς· τῷ τότε οἴκοι κακῷ τῶν ἐν μέσῳ πυρὶ δαπανηθέντων συνέμιξεν τῶν τότε πολέμων τὸ δυστυχὲς καὶ ἄλλων μυρίων ἀτυχημάτων· ὡς αὐτὸν ἐκεῖνον, τὸν βασιλέα λέγω, τοῖς οἰκείοις κακοῖς ταραττόμενον μὴ μόνον τὴν αὐλὴν ἀπολιπεῖν, φασμάτων

v. 2 αλιμμενοις *O*, corr. *F* | οχυρωμενην *O*, corr. *F* 6 μυριαδων *O*, corr. *F* | πεντακισχιλιας *O*, corr. *F* 7 χιλιας *O*, χιλιάδες corr. *F* 8 ἐλλειπειν *O*, corr. *F* 9 αφορησηται *O*, ἀφορίσεται *F*, quod correxi 12 στρατιων *O*, corr. *F* ep. p. 39 17 ηγον *O*, ἤγουν corr. *F* | οσαπερ αν τον, quod correxit, *O* 20 των . . κακων *O*, τοῖς . . κακοῖς coni. *F*, τῷ . . κακῷ scripsi 21 συνεμιξαν *O*, συμμίξαν coni. *F*, συνέμιξεν scripsi 24 et p. 134, 3 ἀπολειπεῖν O, corr. F

ἀντὶ φόνου πενίης τ' ὀλοῆς λιμοῦ τε καὶ ὀργῆς,
ᾗ πάντα φθείρει, σῇ φιλοχρημοσύνῃ.
γείτονα δὲ Σκύλλης ὀλοὴν ἀνέθεντο Χάρυβδιν,
ἄγριον ὠμηστὴν τοῦτον Ἀναστάσιον.
δείδιθι καὶ σύ, Σκύλλα, τεαῖς φρεσί, μή σε καὶ αὐτὴν
βρώξῃ, χαλκείην δαίμονα κερματίσας.

διαβάλλονται γὰρ πρὸς τῶν ἀρχαίων οἱ τὴν Εὐρώπην οἰκοῦντες σχεδὸν ἅπαντες ἐπὶ φιλαργυρίᾳ, ἅμα κερδαίνοντες ἅμα δαπανῶντες τὰ περιγινόμενα αὐτοῖς, οἱ δ' Ἠπειρῶται μάλιστα, Σύρων ὄντες ἄποικοι, ὡς ὁ Πολέμων ἐν πέμπτῃ ἐξη[γ]ήσεων τῆς κατὰ Λουκανὸν τὸν Ῥωμαῖον ἐμφυλίου συγγραφῆς ἀπεφήνατο. ὅθεν καὶ Παλαιστήνη πρὸς τῶν ἀρχαίων καλεῖται, ἐν ᾗ Ἡρώδης ποτὲ πρὸς τιμῆς Αὐγούστου Νικόπολιν ἐδείματο τὴν πόλιν παρὰ Λευκάτην καὶ τὸν Ἄκτιον κόλπον, ὅπου Κλεοπάτραν μετ' Ἀντωνίου παρεστήσατο.

47. Ἦν μὲν οὖν τοιοῦτος ὁ βασιλεύς, τὰ δὲ ἄλλα συνετὸς καὶ πεπαιδευμένος, ἐπιεικής τε ἅμα καὶ δραστήριος, μεγαλόδωρός τε καὶ κρείττων ὀργῆς, ἐρυθριῶν τε τοὺς λόγους, ὡς καὶ πλήρωμα χρόνου καὶ βαθμὸν

Anth. Pal. XI 270 (*εἰς εἰκόνα Ἀναστασίου βασιλέως ἐν τῷ Εὐρίπῳ*), vide Th. Preger, Inscriptiones graecae metricae no. 224
v. 3—6 Anth. Pal. XI 271, Preger no. 225 11 cf. Luc. Phars. V 460

v. 1 *δε ολοῆς O*, *τε ολοῆς* corr. O_2, *τ' ὀλοῆς F* | *λοιμου O*, *λιμοῦ* Anth. 2 *η παντα φθειρεσει O*, *οἷς πάντα φθείρεις* Anth., *οἷς πάντα φθείρει σὴ* coni. *F*, *ᾗ πάντα φθείρει σὴ* (*σῇ* scripsi) corr. *F* ep. p. 39 | *φιλοχρημοσύνη* O, quod correxi; *ἐκ φιλοχρημοσύνης* Anth. 3 *ἐγγύθι τῆς Σκύλλης χαλεπὴν στήσαντο Χάρυβδιν* Anth. | *κύλλης O*, corr. *F* 4 *ομιστην O*, corr. *F* 7 *τον αρχαιον O*, corr. *F* 11 suppl. *F* 12 *ἐμφυλίους O*, *ἐμφυλίων* coni. *F*, *ἐμφυλίου* corr. B | *συγγραφεῖς O*, corr. *F* 13 *Παλαίστη* coni. *F* collatis Caes. b. c. III 6 et Lucano l. s. 16 *μαρεστησατο*, quod correxit, *O*

ἢ τάχα θάλασσαν ὅλην βλύζειν αὐτοῖς τὸ χρυσίον οἰόμενοι.

46. *Νεμεσήσασα δ' ὅμως ἡ Τύχη καὶ σκοπῷ διοικήσεως τὰ νεῦρα παρέλυσε τῆς πολιτείας. τῶν γὰρ βουλευτικῶν συστημάτων διοικούντων τὰς πόλεις καὶ τὸν στρατιώτην ἀποτρεφόντων καὶ ἀληθῶς πολιτευομένων τοῖς πράγμασι, Μαρῖνός τις ἐκ τῶν λεγομένων σκρινιαρίων τῆς ἑῴας διοικήσεως παρεισδὺς ἐντέχνως τῷ βασιλεῖ ἀναπείθει, πᾶσαν αὐτῷ τὴν πολιτείαν διαψηφίσαντι τοὺς φόρους καταπιστεῦσαι, ὁμολογήσας χρυσίον τῷ βασιλεῖ περιποιεῖν. φιλοκερδὴς δὲ ἠρέμα ἐτύγχανεν ἐκεῖνος, οἷα Ταυλάντιος ἐξ Ἐπιδάμνου τῆς Ἰλλυρίδος — Δουρράχιον αὐτὴν Κρῆτες ἀποικήσαντες ἐκεῖ προσηγόρευσαν — ἀπὸ Δουρράχου τότε βασιλεύοντος Κρητῶν, ὡς ὁ Ῥωμαῖος Λουκανὸς ἐν τῇ δευτέρᾳ τῶν ἐμφυλίων φησίν — ἢ Κορκυραῖοι, Κορινθίων ἄποικοι κατὰ τὸν συγγραφέα —, καὶ πολὺς ἦν λόγος ἀπληστίας κατηγορῶν τοῦ Ἀναστασίου, ὡς καὶ ἐλεγείας τινὰς ἐπὶ τοῦ ἱπποδρομίου ἀνατεθῆναι πρὸς τοῦ δήμου κατ' αὐτοῦ, εἰκόνος αὐτᾷ σιδηρᾶς ἐπὶ τοῦ ἱπποδρόμου ἀνατεθείσης. οἱ δὲ στίχοι ⟨ἤθους⟩ τοῦ λεγομένου παρὰ μὲν Ῥωμαίοις φαμώσου, καθ' ἡμᾶς δὲ βλασφημίας, ὧδε·*

Εἰκόνα σοι, βασιλεῦ κοσμοφθόρε, τήνδε σιδήρου
στήσαμεν, ὡς χαλκῆς οὖσαν ἀτιμοτέραν,

v. 15 cf. Luc. Phars. II 610 17 Thuc. I 24 23—p. 136, 2

v. 3 *νεμασα O*, *νείμασα* coni. *F*, *νεμεσήσασα F* ep. p. 39, *νεμεσᾷ B* | *οιμως O*, *ὠμῶς* coni. *F*, *ὅμως B*, *οἴμῳ* Gu. Kroll | *και σκοπω O*, an *κατὰ σκοπὸν*? vide p. 127, 17. 159, 10 9 *ἀναπιθειν O*, corr. *F* 12 *καὶ O*, *ἐξ* corr. *B* 13 *αποικησαν O*, corr. *F* 16 *οικορκυραῖοι O*, *ἢ Κορκυραῖοι* corr. *F* 18 *τους O*, *τοῦ* corr. F. Skutsch | *ἐλεγεῖά τινα* coni. *F* 20 *ανατεθησεις O*, corr. O_2 21 *ἤθους* addidi 22 *ὧδε O*, *οἷδε* coni. *B* 24 *ἄνθεσαν ὡς χαλκοῦ πολλὸν ἀτιμοτέρην* Anth.

ὃς καὶ αὐτὸς τοῖς ὑπάτοις προσ<ηριθμήθη>, ἀξιώματος καὶ μόνου τυχών, ἀναφαίρετον χρυσίον εἰς χιλίας χρυσίου λίτρας συναγόμενον. τοῦ δὲ Παύλου πρὸς τὴν ἔκτισιν ἀθυμοῦντος, ὁ Ζηνόδοτος ποτνιώμενος τὸν Ἀναστάσιον ἀντεβόλει ἀμύνειν αὐτῷ. ὁ δὲ συνορῶν μηδὲ τὸν Παῦλον ἀρκεῖν πρὸς ἀπόδοσιν μηδὲ Ζηνόδοτον πρὸς ἔνδοσιν, δύο χιλιάδας χρυσίου δέδωκε λιτρῶν αὐτῷ, τὰς μὲν χιλίας τῷ χρήστῃ, τὰς δὲ λειπομένας — τοσαῦται δὲ ἦσαν — τῷ Παύλῳ χαρισάμενος.

49. Ἐγὼ δὲ ἀναστρέφω τῷ λόγῳ πρὸς Μαρῖνον. ἐκλαβὼν τοίνυν Σύρος ἀνὴρ καὶ πονηρὸς ὡς ἐπιεικὲς τοὺς φόρους, τὰ μὲν βουλευτήρια πασῶν παρέλυσε τῶν πόλεων, ἀπεμπολῶν τοὺς ὑπηκόους παντί, ὡς ἔτυχεν, εἰ μόνον αὐτῷ τὸ πλέον ὑπόσχοιτο, καὶ ἀντὶ τῶν ἀνέκαθεν στηριζόντων τὰ προστάγματα βουλευτῶν προχειρίζεται τοὺς λεγομένους βίνδικας — <οὕτως γὰρ ἔθος> Ἰταλοῖς θεὸν ἀποκαλεῖν —, οἳ παραλαβόντες τοὺς συντελεῖς οὐδὲν πολεμίων ἧσσον τὰς πόλεις διέθηκαν. καὶ γίνεται μὲν πολύχρυσος, εἴπερ τις ἄλλος, ὁ βασιλεὺς καὶ μετ' αὐτὸν ὁ Μαρῖνος καὶ ὅσοι Μαρινιῶντες ἁπλῶς· ἀπορία δὲ παντελὴς καὶ πενίας βάθος κατέπιε τὰ πράγματα, τὸ λοιπὸν τῆς ἐπαρχότητος τρόπῳ χαμαιζήλου δικαστοῦ μόναις ταῖς ἰδιωτικαῖς διαδικασίαις σχολαζούσης. ἠρυθρία δὲ ὅμως ὁ Μαρῖνος καὶ τὴν ἀρχὴν ἐδόκει τιμᾶν, τέχνῃ τὸν φθόνον ἀπωθούμενος. ἔνθεν τῶν δημοσίων ὥσπερ ὑφ' ἑτέρους τελούντων

v. 1 ὡς *O*, corr. Gu. Kroll; idem supplementum huic versui additum inseruit 2 ἀναφερετον *O*, corr. *F* 4 ποτνιουμενος *O*, quod correxi 11 ἐπιεικὴς *O*, corr. F. Skutsch *14* ὑπόσχοι τὸ (quod correxit) βίνδικας καὶ *O*, βίνδικας del. *F* *16* lacunam indicavit *F*, quam explere studui 17 θεον *O*; an <τοὺς ἐπιτρόπους> θεῶν? 20 μαρινιοντες O, Μαρῖνοι ὄντες coni. *F*, Μαρινιῶντες corr. B

τοῖς τῶν λόγων διδασκάλοις βουληθέντα παρασχεῖν ταῖς αὐτῶν διχονοίαις ἐμποδισθῆναι· πέφυκε γὰρ ἐξ ἀπραγμοσύνης τὸ λογικὸν πρὸς ἑαυτὸ διαφωνεῖν. ἦν οὖν ἀγαθός, ὡς ἔφην, καὶ μηδένα τῶν δεομένων σκυθρωπὸν ἀποπέμπων, ὡς μὴ πόλιν, μὴ φρούριον, μὴ συσκήνιον ἢ λιμένα ἢ τόπον οὖν τινα τῆς πάσης Ῥωμαίων πολιτείας ἀμοιρεῖν τῶν ἐκείνου κατὰ τὸ ἀναγκαῖον δωρεῶν. ὅτι δὲ μόνος αὐτὸς μετὰ Κωνσταντῖνον τὴν τῶν ψυχῶν ἐκούφισε δασμολογίαν, εἰ καὶ μὴ πᾶσαν — οὐδὲ γὰρ ἔφθασε —, θεὸν ἐχέτω ἵλεων τῶν ὁπωσδήποτε πλημμεληθέντων αὐτῷ· καὶ γὰρ ἄνθρωπος ἦν. πολλῶν δὲ ὄντων καὶ ὑπὲρ ⟨ἀριθμόν, ἃ ὑπὲρ⟩ τῶν κοινῶν Ἀναστάσιος ἔπραξεν, ἀρκέσει μόνη πρὸς ἀπόδειξιν ἡ παρ' αὐτοῦ ὑπὲρ Εὐφράτην κατασκευασθεῖσα πόλις — Δάραν αὐτὴν οἱ ἐπιχώριοι, Ἀναστασίου δὲ πόλιν ἐξ αὐτοῦ προσαγορεύουσι καθ' ἡμᾶς —, ἣν εἰ μὴ θεὸς πρὸς ἐκείνου ταῖς φάρυγξι Περσῶν ἐπέβρισεν, ἔκπαλαι ἂν τὰ Ῥωμαίων Πέρσαι, ὅσα προσεχῆ αὐτοῖς ἐστι, κατεσχήκεσαν.

48. Χαλεπὸν δὲ οὐδὲν καὶ μιᾶς αὐτοῦ σκοτίας καὶ λανθανούσης ἔτι ἐπιμνησθῆναι πράξεως· δεῖ γὰρ καὶ τῶν ἰδικῶν τἀνδρὸς ἀρετῶν μίαν ἐναποθέσθαι τῷ λόγῳ. Παῦλος ἀνὴρ εὐπατρίδης ἐκ Βιβιανοῦ πατρὸς ἐπισημοτάτου γέγονεν ὑπ' αὐτῷ, ὃς καὶ τοὺς πώποτε τῶν ἔμπροσθεν ἐπὶ μεγαλοφροσύνῃ θαυμασθέντων ὑπάτων ταῖς φιλοτιμίαις ἀπέκρυψεν. οὗτος χρειῶν ἰδιωτικῶν ἕνεκα λυσιτελῶν αὐτῷ ἐπωφείλησε Ζηνοδότῳ,

v. 4 ἀγαθὸν *O*, corr. *F* 6 ευσινιον *O*, εὐθήνιον coni. *F*, συσκήνιον scripsi 10 ἵλεω *O*, ἵλεων scripsi 11 πλημεληθέντων *O*, corr. *F* ep. p. 41 12 ὄντων καὶ *O*, ὄντων ἃ coni. *F*, suppl. *B* 18 οιον *O*, ὅσα corr. *B* 25 θαυμασθέντας ὑπάτους coni. Th. Preger 26 ουτως *O*, corr. F 27 εποφελησεν O, corr. F

51. *Τοιαῦτα μέν τινα τότε ἐπράττετο. ὁ δὲ βασιλεὺς ἐτρύφα ταῖς Μαρίνου περινοίαις πλουτῶν καὶ ταῖς τῶν ὑπάτων εὐφημίαις ἐναβρυνόμενος. εἰρήνη δὲ βαθεῖα τὴν πᾶσαν ἐχαύνου πολιτείαν καὶ οὐχ ἥκιστα τὸν στρατιώτην, πάντων ὁμοῦ τὴν τῆς αὐλῆς ῥᾳστώνην ζηλούντων καὶ διωκόντων τὰ βασιλέως ἐπιτηδεύματα. καὶ πέρας ἦν λοιπὸν Ἀναστασίου τοῦ βίου τοῖς ἀπὸ τῶν δογμάτων καὶ Βιταλιανοῦ θορύβοις ταραττόμενον. Ἰουστίνου δὲ τὴν βασιλείαν παραλαβόντος — ἀνὴρ δὲ ἦν ἀπράγμων καὶ μηδὲν ἁπλῶς παρὰ τὴν τῶν ὅπλων πεῖραν ἐπιστάμενος — Μαρῖνος μέν, καὶ ὅσοι Ἀναστασίου τῆς αὐξήσεως ⟨ἔτυχον, ἀπηλλάττοντο⟩· οὐκ ὄντων δὲ τὸ λοιπὸν τοῖς κρατοῦσι κερδῶν, ὥσπερ τὸ πρότερον — καὶ γὰρ ἀπεστρέφοντο τὰς κατὰ τῶν ὑπηκόων ἐπηρείας —, ἅπας μὲν ὁ πλοῦτος Ἀναστασίου εἰς ἀπείρους μυριάδας χρυσίου λιτρῶν συναγόμενος διερρύη. ὄχλος δὲ πολέμων τὰ Ῥωμαίων ἐδόνει, Περσῶν τὴν ἀειθρύλητον ἐπὶ ταῖς Κασπίαις πύλαις ἀπαιτούντων δαπάνην. ὁ δὲ περὶ αὐτῆς λόγος τοιοῦτος.*

52. *Πρὸς ἀνίσχοντα ὑπὸ λέοντι ἥλιον ἐν ἀρχῇ στενῇ τοῦ Καυκάσου, πρὸς βορέαν ἄνεμον κατὰ τὴν Κασπίαν χωριζομένων φύσει τῶν τοῦ Καυκάσου σφυρῶν, εἴσοδος ἀπετελέσθη βαρβάρων τοῖς ἀγνοουμένοις ἡμῖν τε καὶ Πέρσαις, οἳ περὶ τὴν Ὑρκανὴν νέμονται· δι' ἧς εἰσβάλλοντες τά τε πρὸς εὖρον Πέρσαις, τά τε πρὸς βορέαν Ῥωμαίοις ἀνήκοντα ἐδῄουν. καὶ ἕως μὲν Ἀρτάξατα καὶ ἔτι ἐπέκεινα εἶχον ὑφ' ἑαυτοῖς οἱ Ῥωμαῖοι, ἀντέβαινον παρόντες ἐκεῖ· ὡς δὲ τούτων ἐξέστη-*

v. 8 *ταραττομένων O*, corr. F 12 lacunam statuit *F*, *quam* explere conatus sum 18 αειθρυλλητον O, mutavit B 23 *ουμενοις ημ* in rasura *O* 26 ἔδη οὖν, quod correxit, O

καὶ μὴ κατὰ τάξιν πραττομένων, ὑπώλισθεν ἡ τάξις καὶ πενίας ἐνήρχετο· τί γὰρ περιεγίνετο αὐτῇ, μόναις ταῖς δίκαις τῶν ἰδιωτῶν ἐξυπηρετουμένῃ;

50. *Οὕτως οὖν τῶν πραγμάτων ὑπὸ τῷ Μαρίνῳ πεσόντων, συνεῖδεν ὁ βασιλεὺς ἑτέρᾳ τιμῇ τὴν ἀτιμίαν παραμυθήσασθαι τῆς ἀρχῆς. τῶν γοῦν δικανικῶν ῥητόρων τοὺς ἀρίστους ἐπὶ τὴν ἀρχὴν προὔφερε, καί ποτε πρὸς τῆς γαμετῆς Ἀριάδνης ὀχλούμενος, Ἀνθεμίῳ τῷ Ἀνθεμίου, τοῦ Ῥώμης βεβασιλευκότος, παιδὶ τὴν ἀρχὴν ἐγχειρίσαι, ἠγανάκτησεν, εἰπὼν δέ, μηδενὸς ἢ μόνων λογικῶν ἀξίαν εἶναι τὴν ἐπαρχότητα. ὅπως δὲ ἠρυθρία τὴν ἀρχήν, γνώσεταί τις ἐκ τούτου. Ἑρμίας τις τοῖς Λυδίας σκρινιαρίοις συναριθμούμενος ὑπὸ μέμψιν γέγονε Σεργίου, τοῦ τότε τὴν ἐπαρχότητα διέποντος, ἀγανακτήσαντος. ὁ δὲ βασιλεὺς πρὸς τῆς Ἑρμίου μητρὸς ὀχλούμενος πολὺς ἐγίνετο τὸν ὕπαρχον παρακαλῶν, παραχωρεῖν Ἑρμίᾳ· ἐκεῖνος δὲ μέχρι παντὸς ἀνεβάλλετο, καὶ ὁ βασιλεὺς ἐνεδίδου, τήν τε ἀρχὴν τήν τε Σεργίου σεμνότητα παρατηρούμενος· ἴσχυσε δ᾽ ὅμως ὑπὲρ δικαίου παρακαλῶν. αὐτῶν οὖν τῶν ἐν λόγῳ ἀμοιβαδὸν τὴν ἀρχὴν παραλαμβανόντων, δίδωσιν ἐκ τῶν λεγομένων Αὐγουσταλίων, οἳ μάλιστα τοῖς λόγοις ἐνέπρεπον, καὶ μὴν καὶ ταχυγράφων τοῖς ἀκολούθοις παριέναι καὶ λόγους παραδιδόναι καὶ ἀκροάσεσι δημοσίαις ἐπιδείκνυσθαι τὴν οὖσαν αὐτοῖς ἐπὶ τοῖς λόγοις παρασκευήν, γερῶν τε οὐ μικρῶν τυγχάνειν.*

v. 1 *κατὰ ⟨τὴν⟩ τάξιν* coni. *F* ep. p. 41 | *πραττομενον O*, corr. *F* 2 *πενίᾳ συνείχετο* coni. *B* 4 *οὑτῶν O*, *οὖν τῶν* corr. *F* 15 *μηπρος O*, *μητρὸς* corr. *F* 16 *ἐγενετο O*, corr. *B* 17 *παραχωρων*, quod correxit, *O* 21 *παραδωσιν O*, *παραδιδῶσιν* coni. *F*, *δίδωσιν* corr. *B* 24 *δημοσίοις* O, corr. F 26 *μικρον O*, corr. *F*

ἠρτημένα. ἐπὶ δὲ αὐτοῦ, Κωάδου τοῦ γέροντος ὅλην Περσίδα κατὰ Ῥωμαίων ἄγοντος γίνεται πόλεμος· καὶ χειρὶ μὲν νικᾶν οἱ Ῥωμαῖοι δυνάμενοι, ἀσωτίᾳ δὲ καὶ τρυφῇ Ἀρεοβίνδου τοῦ τελευταίου — ἦν γὰρ φιλῳδὸς καὶ φίλαυλος καὶ φιλορχήμων — καὶ ἀπειρίᾳ καὶ δειλίᾳ Πατρικίου καὶ Ὑπατίου τῶν στρατηγῶν ἠλαττώθησαν μὲν τὸ πρότερον, ἐξαπίνης τῶν Περσῶν ἐπιχεθέντων· τὸ δὲ λοιπὸν τούς τε Πέρσας διωξάντων καὶ Ἀμίδαν ἁλοῦσαν ῥυσαμένων αὖθις, ὁ Πέρσης λόγους ἐκίνησε πρὸς Κέλερα, ὃς ἦν μάγιστρος τῶν ⟨ὀφφικίων⟩ τῷ Ἀναστασίῳ, περὶ Βιραπαράχ, ὡς προέφαμεν, καὶ τῆς κατὰ μόνας ὑπὸ Περσῶν γενομένης περὶ αὐτοῦ δαπάνης. καὶ πέρας ἔσχεν ἡ φιλονεικία, μετρίων τινῶν ὑπὸ Ἀναστασίου χαρισθέντων Κωάδῃ· τὸ γὰρ μεγαλόφρον Ἀναστασίου καὶ εὐμέθοδον εὐσεβῶς τὴν ὑπὲρ εἰρήνης ζημίαν ὑπέμενε. τοιοῦτος μὲν οὖν περὶ τῶν Κασπίων πυλῶν τοῖς Ῥωμαίων συγγραφεῦσιν ὁ λόγος, ⟨ὃν⟩ Ἀρριανὸς ἐπὶ τῆς Ἀλανικῆς ἱστορίας καὶ οὐχ ἥκιστα ἐπὶ τῆς ὀγδόης τῶν Παρθικῶν ἀκριβέστερον διεξέρχεται, αὐτὸς τοῖς τόποις ἐπιστάς, οἷα τῆς χώρας αὐτῆς ἡγησάμενος ὑπὸ Τραϊανῷ τῷ χρηστῷ· τοιούτους γὰρ ἄρχοντας ἐκεῖνος ἔσχεν, οἳ τοῖς τε λόγοις τοῖς τε ἔργοις εἰς τοσαύτην εὔκλειαν τὴν πολιτείαν ἀνέστησαν.

v. 5 *φιλορήμων O*, corr. *F* 6 *πατρικου O*, corr. *F* 7 *ἐπισχεθέντων O*, corr. *F* 8 *των*, eraso postea *ν*, *O*, *τὸ* scripsi | *λοιπον O*, *τῶν . . λοιπῶν* volebat *F* | *ἐδίωξεν τῶν O*, *διωξάντων* corr. *F* 9 *ῥυσαμένων· αὖθις O*, corr. *F* 10 *κελλερα*, altero *λ* eraso, *O* | *ὀφφικίων* add. *F* 11 *βιριπαραχ O*, quod ad p. 141, 14 correxi; de nominis forma vide Pauly-Wissowa *Real-Enc.* III 489 13 *πέρσας O*, *πέρας* corr. *F* 16 *οὖν ὁ περὶ O*, *ὁ* del. Gu. Kroll 18 *ὃν* add. *B* | *σαλανικῆς O*, corr. *F* | *ὀχ O*, *οὐχ* corr. *F* 19 *παροικων O*, corr. *B* 20 *αὐτοις O*, *αὐτὸς* corr. *B* 21 *τραιανου* O, corr. F 23 *την τε πολιτειαν O*, *τε* del. *F*

σαν καὶ ὅσων ἄλλων ἐπὶ Ἰοβιανοῦ, οὐκ ἐξήρκουν οἱ Πέρσαι τά τε ἑαυτῶν τά τε πάλαι Ῥωμαίων φρουρεῖν, καὶ θόρυβος ἀεὶ τὰς ἑκατέρων Ἀρμενίας εἶχεν ἀφόρητος. γίνονται δὴ οὖν λόγοι μετὰ τὴν ἐπὶ Ἰουλιανοῦ Ῥωμαίων ἀστοχίαν Σαλλουστίῳ τε, ὃς ἦν ὕπαρχος, ἐξ ἡμῶν, καὶ Περσῶν τοῖς ἐξοχωτάτοις, καὶ Ἰσδιγέρδῃ ὕστερον, ὥστε κοιναῖς δαπάναις ἄμφω τὰ πολιτεύματα φρούριον ἐπὶ τῆς εἰρημένης εἰσόδου κατασκευάσαι, ἐπιστῆσαί τε βοήθειαν τοῖς τόποις πρὸς ἀναχαιτισμὸν τῶν κατατρεχόντων δι' αὐτῆς βαρβάρων. Ῥωμαίων δὲ τοῖς περὶ τὴν ἑσπέραν καὶ τὴν ἄρκτον πολέμοις ἐνοχλουμένων οἱ Πέρσαι ἔσχον ἀνάγκην, οἷα προσεχέστεροι ταῖς τῶν βαρβάρων ἐφόδοις, ἀντοικοδομεῖν φρούριον ἐκεῖ, Βιραπαρὰχ πατρίως αὐτὸ καλέσαντες, καὶ δυνάμεις ἐπέστησαν· καὶ πολέμιος οὐκ εἰσήει.

53. *Ἐκ ταύτης τῆς ἀφορμῆς οἱ Πέρσαι Ῥωμαίοις ἐπετέθησαν, κατὰ σμικρὸν ἐπὶ τὰς Συρίας καὶ Καππαδοκίας ἐκχεόμενοι, ὡς δῆθεν ἀδικούμενοι καὶ τὴν ὑπὲρ τῶν κοινῶν γενομένην δαπάνην κατὰ τὸ ἐπιβάλλον Ῥωμαίοις ἀποστερούμενοι, ὥστε Σποράκιον τὸν πρῶτον ὑπὸ Θεοδοσίου τοῦ μείζονος ἐκπεμφθῆναι διαλεχθησόμενον Πέρσαις· ὁ δὲ δυνάμει τε χρημάτων καὶ συνέσει λόγων ἐγγὺς ἔπειθε Πέρσαις, Ῥωμαίων ὥσπερ χαριζομένων αὐτοῖς, ὑπο⟨φόρων⟩ Ῥωμαίων ἡσυχάζειν καὶ φίλους εἶναι· καὶ ταῦτα ἕως τοῦ καθ' ἡμᾶς Ἀναστασίου διεσύρη, λαλούμενά τε καὶ τυπούμενα καὶ ἁπλῶς*

v. 1 *ὅσον ἄλλον* O, corr. F | *εξηρκον* O, corr. F 5 *σαλουστιω* O, quod mutavi 6 *εισδιγερδη*, quod correxit, O 8 *εἰρήνης* O, *εἰρημένης* corr. F 9 *αναςχετισμον*, deleto postea *σ*, O, corr. F 13 *μειν φρουριον* in rasura O 22 *χρωματων*, quod correxit, O 23 *περσαις* O, *Πέρσας* volebat B 24 *ὑπο ρωμαίων* O, delet F, ego supplere studui

ἠρτημένα. ἐπὶ δὲ αὐτοῦ, Κωάδου τοῦ γέροντος ὅλην Περσίδα κατὰ Ῥωμαίων ἄγοντος γίνεται πόλεμος· καὶ χειρὶ μὲν νικᾶν οἱ Ῥωμαῖοι δυνάμενοι, ἀσωτίᾳ δὲ καὶ τρυφῇ Ἀρεοβίνδου τοῦ τελευταίου — ἦν γὰρ φιλῳδὸς καὶ φίλαυλος καὶ φιλορχήμων — καὶ ἀπειρίᾳ καὶ δειλίᾳ Πατρικίου καὶ Ὑπατίου τῶν στρατηγῶν ἠλαττώθησαν μὲν τὸ πρότερον, ἐξαπίνης τῶν Περσῶν ἐπιχεθέντων· τὸ δὲ λοιπὸν τούς τε Πέρσας διωξάντων καὶ Ἀμίδαν ἁλοῦσαν ῥυσαμένων αὖθις, ὁ Πέρσης λόγους ἐκίνησε πρὸς Κέλερα, ὃς ἦν μάγιστρος τῶν ⟨ὀφφικίων⟩ τῷ Ἀναστασίῳ, περὶ Βιραπαράχ, ὡς προέφαμεν, καὶ τῆς κατὰ μόνας ὑπὸ Περσῶν γενομένης περὶ αὐτοῦ δαπάνης. καὶ πέρας ἔσχεν ἡ φιλονεικία, μετρίων τινῶν ὑπὸ Ἀναστασίου χαρισθέντων Κωάδῃ· τὸ γὰρ μεγαλόφρον Ἀναστασίου καὶ εὐμέθοδον εὐσεβῶς τὴν ὑπὲρ εἰρήνης ζημίαν ὑπέμενε. τοιοῦτος μὲν οὖν περὶ τῶν Κασπίων πυλῶν τοῖς Ῥωμαίων συγγραφεῦσιν ὁ λόγος, ⟨ὃν⟩ Ἀρριανὸς ἐπὶ τῆς Ἀλανικῆς ἱστορίας καὶ οὐχ ἥκιστα ἐπὶ τῆς ὀγδόης τῶν Παρθικῶν ἀκριβέστερον διεξέρχεται, αὐτὸς τοῖς τόποις ἐπιστάς, οἷα τῆς χώρας αὐτῆς ἡγησάμενος ὑπὸ Τραϊανῷ τῷ χρηστῷ· τοιούτους γὰρ ἄρχοντας ἐκεῖνος ἔσχεν, οἳ τοῖς τε λόγοις τοῖς τε ἔργοις εἰς τοσαύτην εὔκλειαν τὴν πολιτείαν ἀνέστησαν.

v. 5 φιλορήμων *O*, corr. *F* 6 πατρικον *O*, corr. *F* 7 ἐπισχεθέντων *O*, corr. *F* 8 των, eraso postea ν, *O*, τὸ scripsi | λοιπον *O*, τῶν .. λοιπῶν volebat *F* | ἐδίωξεν τῶν *O*, διωξάντων corr. *F* 9 ῥυσαμένων· αὖθις *O*, corr. *F* 10 κελλερα, altero λ eraso, *O* | ὀφφικίων add. *F* 11 βιριπαραχ *O*, quod ad p. 141, 14 correxi; de nominis forma vide Pauly-Wissowa *Real-Enc.* III 489 13 πέρσας *O*, πέρας corr. *F* 16 οὖν ὁ περὶ *O*, ὁ del. Gu. Kroll 18 ὃν add. *B* | σαλανικῆς *O*, corr. *F* | ὀχ *O*, οὐχ corr. *F* 19 παροικων *O*, corr. *B* 20 αὐτοις *O*, αὐτὸς corr. *B* 21 τραιανου *O*, corr. *F* 23 την τε πολιτειαν *O*, τε del. *F*

54. *Τοιούτων μὲν περὶ Πέρσας, μυρίων δὲ ἄλλων πολέμων ἀναπτομένων τὸ λοιπὸν λογικοῖς πάροδος οὐκ ἦν ἐπὶ τὴν ἐπαρχότητα. ἔδει δὲ χρημάτων, καὶ οὐδὲν ἦν ἄνευ αὐτῶν πραχθῆναι τῶν δεόντων. ὅπως δὲ μηδὲν τῶν πρὸς ἀνατροπὴν τῆς πρόσθεν εὐπραγίας παροφθείη, σάλοι σκιρτῶντες καὶ διιστῶντες τὴν γῆν ῥιζόθεν τὴν Σελεύκου Ἀντιόχειαν κατέαξαν, τῷ ὑπερκειμένῳ βουνῷ τὴν πόλιν σκεπάσαντες, ὡς μηδεμίαν διαφορὰν ὄρους καὶ πόλεως ἀπολειφθῆναι τῷ χωρίῳ, νάπην δὲ τὸ πᾶν καὶ σκοπέλους, οἳ πάλαι τὸν Ὀρόντην παρολισθαίνοντα τῇ πόλει ἐσκίαζον. χρυσίον οὖν ἄπειρον ἐχρῆν ἐπομβρίσαι τὴν ἐπαρχότητα πρὸς ἐκφορὰν τέως τῶν ἀπὸ τοῦ πτώματος ἐξογκωθέντων καὶ εἰς ἠλίβατον δυσχωρίαν ἀνοιδησάντων χωμάτων· οὐδὲ γὰρ ἦν ἀσφαλὲς τὴν Σύρων πρωτεύουσαν παριδεῖν ἐρριμμένην εἰς ἔδαφος. ὡς δὲ κόπῳ πολλῷ καὶ χρημάτων ἀφθονίᾳ καὶ τεχνῶν συνεργείᾳ ὥσπερ ἐρεβόθεν ἡ πόλις ἀνεφύετο, Ἰουστίνου τέλος λαβόντος Χοσρόης ὁ κακοδαίμων διὰ τῆς Ἀραβίας ἐμπεσὼν σὺν ἀπείρῳ στρατιᾷ ταῖς Συρίαις αὐτὴν μὲν τὴν ἄρτι καταπεσοῦσαν, εὐχείρωτον αὐτῷ φανεῖσαν ὡς ἄφρακτον λαβὼν πολέμῳ κατέφλεξε, φόνον ἄπειρον ἐργασάμενος· τοὺς δὲ ἀνδριάντας, οἷς ἐκοσμεῖτο τὸ ἄστυ, σὺν πλαξὶ καὶ λίθοις καὶ πίναξιν ἁπλῶς ἀναρπάσας ὅλην εἰς Πέρσας Συρίαν ἀπήλασε. γεωργὸς δὲ οὐκ ἦν, οὐχ ὑποτελὴς τῷ δημοσίῳ λοιπόν, καὶ δασμὸς μὲν οὐκ εἰσεφέρετο τῇ βασιλείᾳ, τὸν δὲ στρατιώτην ἀποτρέφειν ὁ ὕπαρχος ἠναγκάζετο, καὶ πάσας τὰς συνήθεις ἐπιδιδόναι τῇ πο-*

v. 5 παρωφθεις *O*, παροφθῇ coni. O_2, παροφθείη scripsi 12 ἐπομβρίσαι *O*, ἐπομβρῆσαι coni. O_2 13 τε ωστων *O*, corr. O_2 25 υποτελεις *O*, corr. O_2 28 συνηθείας O, corr. O_2

λιτείᾳ δαπάνας, οὐ μόνον τοὺς ἀπὸ Σύρων φόρους ζημιούμενος, οἳ καὶ μόνοι ῥοπὴν τοῖς κρατοῦσιν ἐποίουν, ἀλλ' ἔτι καὶ προσεπιδιδόναι δαπάνας ἀριθμοῦ κρείττονας συνωθούμενος περί τε τὰς ἁλούσας τῶν πόλεων περί τε τοὺς συντελεῖς, εἴ που τινὰς τὰ Περσῶν δεσμὰ διαφυγόντας ἐμπλανᾶσθαι ταῖς ἐρημίαις τῶν πάλαι θαυμαζομένων χωρίων συνέβαινεν.

55. Τοιούτοις κλύδωσι τοῦ πολιτεύματος καὶ θυέλλαις κακῶν ῥιπταζομένου, ἀντίρροπον προὔθηκεν ἡ τύχη τῆς πάλαι ῥᾳθυμίας τὴν ἐμμέλειαν, Ἰουστινιανὸν τὸν πάντων βασιλέων ἀγρυπνότατον ἐπιστήσασα τοῖς κοινοῖς, ὃς ζημίαν τῆς οἰκείας ζωῆς ᾤετο συμβαίνειν αὐτῷ, εἰ μὴ πάντες κατ' αὐτὸν ἀγρυπνοῖεν καὶ ὑπερμάχοιντο τῆς πολιτείας, ⟨ὡς⟩ μὴ τὰ Ῥωμαίοις διενεγκόντα ποτέ, εἶτα ῥᾳστώνῃ τῶν ἔμπροσθεν ἐξολωλότα μόνα, ἀλλ' ἔτι καὶ τὰ πολεμίων πρὸς ἐκείνοις λαμβάνοιεν. καὶ Πέρσας μὲν οὖν καὶ Χοσρόην τὸν ἄτακτον χρυσίῳ μὲν πρῶτον, εἶτα παλιμμαχοῦντα καὶ σιδήρῳ κατέχωσε. Βανδήλοις δέ, ἔθνει Γερμανικῷ, τὴν Λιβύην κατεσθίουσι πόλεμον ἐξαπίνης ἐπιχέων ἐν μόναις δύο σελήναις εἷλέ τε αὐτοὺς καὶ πολέμῳ λαβὼν παρεστήσατο τῇ βασιλείᾳ, Γελίμερα αὐτὸν σὺν τοῖς ἐνδόξοις τοῦ ἔθνους, οὓς ἐκάλουν Ἀστίγγους οἱ βάρβαροι, γαμετῇ τε καὶ παισὶ καὶ πλούτῳ βαθεῖ, καθάπερ οἰκέτας ἀχρειοτάτους πρὸς δουλείαν Ῥωμαίοις ἐκδούς. μικροῦ δὲ τούτου φανέντος αὐτῷ Γέταις ⟨τήν⟩ τε ἱερὰν Ῥώμην καὶ πάντα, ὅσα ὑπ' ἐκείνην ἐτέλει, δια-

v. 3 κριττονος O, corr. O_2 5 που O, ει add. O_2 13 υπερμαχοντο O, corr. O_2 14 ὡς add. O_2 18 χρυσιον O, corr. O_2 | παλιν μαχοῦντα O, corr. O_2 24 πασι O, παισὶ corr. O_2 26 τήν add. F

σπῶσι Ῥωμαίων τε τοὺς ἀνέκαθεν εὐπατρίδας ὑβρίζουσιν ἐπελθὼν ἥρπασεν αὐτοὺς πανεστίους σύν ⟦*τε*⟧ *Βιττίγει τῷ τυράννῳ παρεστήσατο, τῇ δὲ Ῥώμῃ τὰ Ῥώμης ἀπέσωσεν.*

56. *Ὡς δὲ καὶ Συγάμβροις ἐπαγρυπνεῖν ἠπείλει — Φράγγους αὐτοὺς ἐξ ἡγεμόνος καλοῦσιν ἐπὶ τοῦ παρόντος οἱ περὶ Ῥῆνον καὶ Ῥοδανόν —, αὖθις Χοσρόης, ὡς μηδενὸς ἄρτι πραχθέντος, ἐπὶ τὰς Συρίας ἀπροόπτως ἐξεχύθη, τῶν Ῥωμαϊκῶν δυνάμεων Λιβύης τε πρὸς Μαυρουσίων σειομένης καὶ τῆς ἑσπέρας πρὸς Γετῶν ὅλης ταραττομένης ὑπερμαχουσῶν, Κόλχους τε καὶ τὸν Καύκασον Σκυθῶν καὶ τὴν Θρᾴκην μυρίων ὅσων θηρίων ἐνοχλούντων. καὶ ὁ μὲν βασιλεὺς ἤρκει πρὸς πάντας τοὺς πολέμους, ὡσεὶ πρὸς ἕνα μαχόμενος, ἡ δὲ ἐπαρχότης θεηλάτοις συνείχετο θυέλλαις, τῶν μὲν ὑπηκόων ταῖς ἀκινήτοις κτήσεσι δι' ἔνδειαν ἀπολεγόντων, τῶν δὲ πρακτόρων μηκέτι τοὺς φόρους εἰσάγειν, οὐκ ὄντων ὑποτελῶν, τοῖς κρατοῦσιν ἰσχυόντων· ὑπουργεῖν δὲ ὅμως ταῖς δαπάναις τοσαύταις οὔσαις καὶ οὕτως ἀνενδότοις ⟨ὁ⟩ κατὰ καιρὸν ὕπαρχος συνωθεῖτο. εἰκότως οὖν ἄλλος ἐξ ἄλλου συνεχεῖς ὁμοῦ καὶ βαρεῖς ἐξ ἀνάγκης διαδεχόμενοι, τὴν ἀρχὴν διέσπασαν. ἡ δὲ τάξις 'οὐδ' ἐν λόγῳ οὐδ' ἐν ἀριθμῷ', ἀπωλώλει δὲ παντελῶς· τῶν γὰρ περιεχόντων ἀπολλυμένων εἰκὸς ἦν ἀπολέσθαι τὰ περιεχόμενα.*

v. 23 vide quae adferuntur supra ad p. 105, 11

v. 2 ante *ουιττιγι* (quod mutavi) duae litterae evanidae in *O*, unde ⟦*τε*⟧ supplevi, ⟨*καὶ*⟩ *σὺν Οὐϊττίγει* scripsit *F* 5 *σιγγαμβροι O*, corr. *F* 11 *ὅλων O*, corr. *F* 15 *θειλατοις O*, corr. O_2 20 *ὁ* add. *F* 23 *ουδεν λογω ουδε* O, e p. 105, 11 corr. *F*

57. *Καί πού με τὸ δαιμόνιον συνωθεῖ πρὸς ἀνάμνησιν ἐξάγον μυρίων κακῶν. Ἰωάννης τις ἐκ Μαζάκων ὁρμώμενος — Καισάρειαν τὴν πόλιν Τιβέριος Καῖσαρ μετωνόμασεν, Ἀρχέλαον τὸν Καππαδοκῶν βασιλέα δόλῳ μεταστειλάμενος ἐν τῇ Ῥώμῃ καὶ κατασχὼν ἐν αὐτῇ· τὴν δὲ Καππαδοκίαν, οὐκ οὖσαν ἄνωθεν, πρῶτος ἐπαρχίαν Ῥωμαίοις ὑπόφορον ἀπέφηνεν — οὗτος ὥρμητο μέν, ὡς ἔφην, ἐξ ἐκείνης, τοῖς δὲ τῆς στρατηγίδος ἀρχῆς σκρινιαρίοις συναριθμούμενος, δολερῶς, οἷα Καππαδόκης, παρεισδὺς οἰκειοῦται τῷ βασιλεῖ καὶ κρείττονα πίστεως ἐπαγγειλάμενος πρᾶξαι ὑπὲρ τῆς πολιτείας εἰς λογοθέτας προῆλθεν· εἶτ' ἐκεῖθεν, ὥσπερ κατ' ἐπιβάθραν, ἐπὶ τοὺς λεγομένους ἰλλουστρίους [ἀνελθὼν καὶ μήπω γνω]σθείς, ὁποῖός τίς ἐστι τὴν φύσιν, [ἀθρ]όως [εἰς τ]ὴν ὕπαρχον ἀνηρπάσθη τιμήν· οὐδὲ γὰρ ὕστε[ρον] [ὑπέμεν]εν ὁ βασιλεύς, καλὸς καὶ ἐπιεικὴς τυγ[χάνων, πονηροῖς] ἄρχουσι καταπιστεῦσαι τὴν ἀρχήν, ἤδη [μαθὼν καὶ] τοῖς ἔργοις εὑρών, ὡς*

Καππαδόκαι φαῦ[λοι μὲν ἀεί·] ζώνης δὲ τυχόντες
φαυλότεροι· κέρδους δ' εἵνεκα φαυλότατοι·
ἢν δ' ἄρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
δή ῥα τότ' εἰς ὥρας φαυλεπιφαυλότεροι.

v. 20 sqq. Anth. Pal. XI 238

v. 1 *μετα O*, *τα* delevi | *συνωθει O*, *συνώθει* ediderunt *FB*, *συνωθεῖ* correxi 2 *ἐξάγων O*, quod correxi 4 *τῶν O*, *τὸν* corr. *F* 13 *επιβαραθραν O*, corr. O_2 16 suppl. *F* 21 *ἕνεκα O*, corr. *F* | *ἐπιφαυλότατοι O*, *ἐπι* del. *F* 22 *δράζωνται μεγαλως απηνεις O*, ex Anthologia corr. *F* 23 *δ' ἤρατο τις ὅρας φαυλ' επιφαυλοτέρας O*, corr. *F*; *δὴ τότε γίγνονται φαυλεπιφαυλότατοι* Anthol.

οὕτως οὖν, ὡς ἔφθην εἰπών, ὁ πονηρὸς Καππαδόκη δυνάμεως ἐπιλαβόμενος δημοσίας ἀπειργάσατο συμφορας, πρῶτον μὲν δεσμὰ καὶ πέδας καὶ ποδοκάκας κα σίδηρα προθείς, ἔνδον τῆς πραιτωρίας αὐλῆς ἰδιωτική ἐν σκότῳ φυλακὴν ἀφορίσας ταῖς ποιναῖς τῶν ὑπ αὐτῷ τελούντων, Φάλαρις ὥσπερ ἄνανδρος καὶ μόνοι τοῖς δούλοις ἰσχυρότατος, ἐκεῖ τε ἐνείργων τοὺς πιεζο μένους, οὐδένα τύχης οἱασοῦν ἐξαιρούμενος τῶν αἰκισ μῶν, ἀναρτῶν τε ἁπλῶς ἀζητήτως τοὺς μόνον ἔχει χρυσίον διαβαλλομένους, καὶ ἢ γυμνοὺς ἢ νεκροὺ ἀπολύων. καὶ τούτων μάρτυς μὲν ὁ δῆμος, ἐγὼ δ οἶδα θεωρὸς γενόμενος καὶ παρὼν τοῖς πραττομένοις καὶ ὅπως, ἐρῶ. Ἀντίοχός τις, ἤδη γέρων τὴν ἡλικίαν ἐμηνύθη αὐτῷ χρυσίου δεσπότης εἶναί τινος. συσχὼ οὖν αὐτὸν καλῳδίοις στιβαροῖς ἀνέδησεν ἐκ χειροῖν ἕως ἔξαρνος γενόμενος ὁ γέρων νεκρὸς τῶν δεσμῶ ἠλευθερώθη. ταύτης ἐγὼ τῆς [μιαι]φονίας γέγονε θεωρός· ἠπιστάμην γὰρ τὸν Ἀντίοχον.

58. [Πρᾶξ]ις μὲν οὖν αὕτη τῷ Καππα[δόκῃ πα σ]ῶν μετριωτάτη, καὶ εἴθε γοῦν μόνος ταῖς ἀδικίαι ἐνηγρύπνει· [Βριά]ρεως δὲ καθάπερ ὁ τοῦ μύθου μυ ρίας χεῖρας ἔχειν τοῖς π[οιη]ταῖς λέγεται, οὕτως [[καὶ]] ἐκεῖνος ἀλάστωρ ἀπείρους [[ὑπουργοὺς]] [τῶν κακῶ ἔ]χων, οὐκ ἐπὶ τῆς βασιλέως μόνον εἰργάζετο, ἀλλ' ἐπ πάντα τόπον [τε καὶ χώραν ἀπέστελλε] τοὺς ὁμοίου αὐτῷ, δίκην ἐξυγροτῆρος [τὸν ἁπαντα]χοῦ λανθάνοντ

v. 21 cf. Iliad. I 403

v. 3 παιδας *O*, πέδας corr. O_2 | παιδοκάκας *O*, corr. *F* 6 ανανδρος *O*; an, ut p. 134, 1, ἄντανδρος? 9 αναρτωνται *O* ἀναρτῶν τε corr. *F* 16 ἐξαρ . ος, quod videtur fuisse ἐξαρνος *O*; ἔξαρμος corr. O_2 20 μόναις *O*, corr. *F* 22 lacunam trium litterarum explevi 23 suppl. F

τέως ὀβολὸν ἀνιμώμενος. ἐκ δὲ τῶν πολλῶν ἑνὸς πρὸς ἀπόδειξιν τῆς τῶν λοιπῶν βδ[ελυρίας] ἀναμνησθήσομαι. ὁμώνυμός τις ἦν αὐτῷ, πρὸς γένος ἐγγύς, ἀνὴρ ὑπὲρ πᾶσαν ἐπίνοιαν θεηλάτου κα[κί]ας, Καππαδόκης μὲν καὶ αὐτὸς καὶ ἐκ μόνης τῆς τοῦ σώματος διασκευῆς τὸ βδελυρὸν τῆς ψυχῆς ἐκκαλύπτων. ἦν μὲν γάρ τις πολύσαρκος καὶ περιττὸς τὴν ὄψιν· πλάτει μὲν ἀμόρφῳ καὶ κρεῶν περιττώμασι τὰς σιαγόνας ἐξῳδημένος, καὶ τῷ βάρει τῶν σαρκῶν οἷα μανδύην ἀποκρεμάσας τοῦ προσώπου τὸν θύλακον· μαξι[λλο]π[λουμ]άκιον αὐτὸν ὁ δῆμος ἀπεκάλει. οὗτος ὁ Κέρβερος ὁ καρχαρόδους κοινὸς μὲν ἐτύγχανεν ἁπάντων ὄλεθρος· τὴν δ' ἐμὴν Φιλαδέλφειαν οὕτως εἰς λεπτὸν ἀπεμασή[σατο], ὡς μετ' αὐτὸν ἔρημον οὐ χρημάτων μόνον ἀλλὰ καὶ ἀνθρώπων γενομένην μηδεμίαν ἐπιδέχεσθαι τὸ λοιπὸν ἀφορμὴν [τῆς] ἐπὶ τὸ κρεῖττον μεταβολῆς. περιηχηθεὶς γὰρ ὁ μηδὲν ἢ νερτέριος δαίμων, ὡς Εὐριπίδης εἶπε, 'Λυδῶν' ὑπάρχειν 'τὰς πολυχρύσους γύας', στῖφος θηρίων καὶ Καππαδοκῶν στρατὸν ἐπαγόμενος ἐνσκήπτει τῇ χώρᾳ, οὐδὲν κοινόν, οὐδὲν μέσον, ἀλλ' ἔπαρχος πραιτωρίων [χ]ρηματίζων· εἶτα διατρίβων ἐν αὐτῇ οὐδενὶ τῶν δειλαίων τῆς χώρας οἰκητόρων οὐ σκεῦος οἱονοῦν, οὐ γαμετήν, οὐ παρθένον, οὐ μειράκιον ἀπήμαντον καὶ φθορᾶς ἔξω καταλέλοιπε, ταῖς μὲν ποιναῖς τῶν ἀναιτίων [ὡς Φά]λαρις, ταῖς δὲ ξενοκτονίαις ὡς

v. 17 Eur. Bacch. 13

v. 3 γενος O, γένους coni. O_2 8 ἐξοιδημένος O, mutavit F 10 τῶν θυλάκων O, quod correxi | μαξιλλοθυλάκιον coni. F; *aux lourdes mâchoires* vertit Ch. Diehl, *Iustinien et la civilisation byzantine* p. 105 12 δεμὴν O, δ' ἐμὴν distinxit F 17 οι O, ἢ corr. O_2 18 τὰς O cum libris Euripideis, in quibus τοὺς correxit Elmsleius | γαιας O, γύας ex Eur. corr. B 22 οικηστορων O, corr. O_2

Βούσιρις, ταῖς δὲ ῥᾳθυμίαις [καὶ τρυφ]αῖς ὡς Σαρδανάπαλος διατελῶν.

59. *[Καὶ εἴθε ⟦ἄχρι⟧ τού]των καὶ μόνων, καὶ μὴ καὶ φόβων ὑπὲρ τραγῳδίαν ἐγίνετο τοῖς ὑπηκόοις αἰτιώτατος· τὰ πλεῖστα [δὴ] οὖν [τῶν] αὐτοῦ μιασμάτων ἐξηγεῖσθαι φρίττων — [ἄπειρα] δέ ἐστιν, ὡς καὶ αὐτὰ μόνα μεγίστας βίβλους πενθήρεις ἀποτελεῖν — μίαν αὐτοῦ πρᾶξιν τέως χρημάτων ἕνεκα τραγῳδήσω τῷ λόγῳ. Πετρώνιός τις ἐπὶ τῆς ἐμῆς Φιλαδελφείας — ἀνὴρ ἀξιόλογος, γένει τε ⟨καὶ⟩ περιουσίᾳ καὶ λόγοις διαπρεπής — οὗτος ἐκ προγόνων κύριος ἦν λίθου τιμίας πολλῆς, ἅμα καὶ διὰ κάλλος καὶ μέγεθος τοῖς ἰδιώταις ἀπ⟦όπ⟧του. τοῦτον ἁρπάσας ὁ Κύκλωψ σίδηρά τε περιθεὶς γυμνὸν ῥάβδοις ἔξαινε διὰ βαρβάρων ἀφειδῶς, ἐνείρξας αὐτὸν ἐπὶ τῆς ἐπαύλεως τῶν ἡμιόνων· στάβλον αὐτὸν Ἰταλοὶ λέγουσιν. οὗ δὴ γνωσθέντος*

ὦρτο πόλις [πτήξασα] καὶ ὄμμασι πήξατο χεῖρας,

ἀνεκώκυέ τε ὁ δῆ[μος ⟨μηδὲ⟩ βοη]θεῖν τῷ διασπωμένῳ μηδὲ πείθειν τολμῶν τὸν ἀλάστορα. ὅ γε μὴν τὴν πόλιν ἐπισκοπῶν σὺν τοῖς ἱερωμένοις ἅπασιν ἀναλαβὼν καὶ τὰ θεῖα λόγια ἔδραμεν ὡς αὐτόν, πείθειν δι' αὐτῶν ἐννοήσας· ὁ δὲ Σαλμωνεὺς εἰς τοὺς ἀνθρώπους καὶ θεὸν ὁρῶν ἐκέλευσεν ἐπὶ σκηνῆς ἐλθόντας πράττειν τὰ ἑαυτῶν, μηδὲν ὑποστελλόμενος τῶν ὅσα

v. 3 suppl. *F* | *τούτων καὶ μὴ καὶ μόνων O*, *καὶ* ante *μόνων* del. O_2, *καὶ πόνων* coni. *F*, transposuit *B* 6 *φρίττω O*, corr. *B* 9 *περώνιος O*, corr. *F* 10 *καὶ* add. *F* 11 *ουτως O*, corr. *F* 13 *α|...τως*, quod *αποπτως* videtur fuisse, *O*, *ἀπόβλεπτος* coni. O_2, *ἀχρήστως* legit *F*, *ἀχρήστου* coni. Roquefort apud *F* ep. p. 42, *ἀπόπτου* scripsi 15 *ενειξας O*, corr. O_2 18 *μηδὲ* add. *F* 22 *τοῖς ἀνθρώποις* O, *τοὺς ἀνθρώπους* scripsit *F* 24 *υποστελλομένους* O, corr. F

ἐν ⟨τοῖς⟩ πορνείοις κεκλημένοις τοῖς ἀκολάστοις λόγοις ἀσελγαίνεται. καὶ ἀσκεπῆ καὶ πᾶσι κάτοπτα παρῆν τὰ θεοῦ γνωρίσματα καὶ ὁ ἱερεὺς μετ' αὐτῶν ὑβριζόμενος [ἐθρή]νει πικρῶς, οὕτως ὁρῶν τὸ θεῖον περιορώμενον [ἀτί]μως. ὁ δὲ Πετρώνιος τῆς οἰκείας περιουσίας [πρῶ]τον ὁρῶν τὸν θεόν, πέμψας εἰς οἶκον πάντα ὅσα [ἦν αὐ]τῷ σὺν καὶ τοῖς λίθοις ἐκείνοις ἐνεγκὼν ἔρριψεν ἐπὶ ⟦τοῦ⟧ αὐλείου τοῦ Κύκλωπος. καὶ τότε χρυσίον λαβὼν ἐπὶ τόκῳ κατέθηκεν ἐπὶ τοὺς τιμωρούς, ὡς δὴ κεκμηκότας ἐπ' αὐτῷ, σπορτούλων ἕνεκα· οὕτω δὲ τὸν ἔρανον οἱ Ῥωμαῖοι προσαγορεύουσιν.

60. *Μετρίου δὲ τούτου δόξαντος εἶναι συνεῖδεν ὁ Κέρβερος καὶ μιαιφονίας ἐργάσασθαι. Πρόκλον οὖν τινα, ἀπόμαχον τῆς [ἐπι]χω[ρίο]υ στρατιᾶς, εἴκοσι χρυσίνους ἀπαιτῶν εἰσφέρειν αὐτῷ συνώθει οὐκ ἔχοντα, καὶ [πάντα τὰ] τῶν ποινῶν ὄργανα ἀπήμβλυνε τοῖς νεύροις τοῦ ἀθλίου πένητος· ὃς τὸ λοιπὸν μηδὲ ζῆν ὑπομένων [μη]δὲ τελευτᾶν συγχωρούμενος τέχνῃ μετῆλθε τὸν θάνα[τον. λαβὼ]ν οὖν τοὺς ποινουργοὺς καὶ δοῦναι τοὺς εἴκοσι χρυσοῦς ἐξ ἀνάγκης ἀπαγγειλάμενος, εἰ τυχὸν ἕψονται ἐπὶ [τὸ] καταγώγιον αὐτῷ γινομένῳ, ὡς ἦλθεν ἐκεῖ, παρελθών, τῶν φυλάκων ἔξωθεν προστηρούντων, βρόχον ἐνάψας τῷ τραχήλῳ τῆς ζωῆς ἀπηλλάγη. ὡς δὲ τὸ λοιπὸν οὐ προῆλθεν, εἰσφρήσαντες ἐκεῖνοι καὶ ἐξηρτημένον αὐτὸν ἰδόντες τὸν μὲν νεκρὸν αὐτοῦ ἔρριψαν [ἐπ' ἀγορᾶς] συμπα-*

v. 1 *τοῖς* add. Gu. Kroll 2 *ἀσελγένεσθαι O*, corr. Gu. Kroll | *τα O*, *τὰ* corr. O_2, hoc loco finem emendandi faciens 5 *περιουσίας προτιμῶν τὸν* coni. Gu. Kroll 7 *ταῖς . . ἐκείναις* volebat *F* 8 *τοῦ* supplevi in lacuna trium litterarum | *αλιου O*, *αὐλείου* corr. *F* | ante *τό*, *τε* (*τότε* ego) lacunam statuit *F* 17 *ως O*, *ὃς* corr. *F* 20 *ἐπαγγειλάμενος* coni. B

τοῦντες, ὡς δῆθεν ἠπατη[μένοι]· τὰ δὲ [ὄντα αὐτῶν δι]ήρπασαν, μηδὲ πρὸς ταφὴν [οἰκτροῦ] τινος ἐπιρρίμματος ἀξιώσαντες.

61. *Τοιούτοις κατορθώμασιν ἐν[ασχο]λούμενος ὁ Λαιστρυγὼν ἢ μᾶλλον 'ὁ τεκνοραίστης λυ⟦μ⟧εὼν ἐμῆς π[ά]τρης' — ὥς φησιν ὁ Λυκόφρων ἐκεῖνος — ἐφ' ὅλ[ον ἔ]τος τὴν πόρθησιν τῶν Λυδῶν διέτεινε. γλίσχρον δὲ καὶ φαῦλον [ἡγού]μενος, εἰ μόνην τὴν πρόσθεν εὐδαίμονα Λυδίαν ὑπά[γοι] τοῖς ἀδικήμασιν, ἐφ' ὅλην ὁμοῦ τὴν τῆς Ἀσιανῆς ῥάχεως διοίκησιν συνεῖδεν ἐκτεῖναι τὴν ἀσέβειαν. Νόμος ἄνωθεν ἐκράτησε, πλατὺν ἅμα καὶ ὀξὺν δρόμον ἐνιδρῦσθαι ταῖς ἐπαρχίαις· ὧν ὁ μὲν πλατὺς ὀχήμασιν ἐχρῆτο, ὁ δὲ ὀξὺς ὑποζυγίοις ἵπποις — βεραίδους [αὐτοὺς] οἱ κρατοῦντες ὠνόμασαν, καὶ τὴν αἰτίαν ἐν τοῖς περὶ μηνῶν ἴσμεν ἀποθέμενοι. τῆς γὰρ ἠπείρου σχε[δὸν] ἁπάσης ⟨τελούσης⟩ ὑπ' αὐτοῖς, οὐκ ἦν εὐχερὲς τὰ πρὸς τὴν ἕω [συμ]βαίνοντα ἐπὶ τοὺς κυρίους τοῦ πολιτεύματος ὡς θᾶττον ἀναφέρειν, ἔστιν ὅτε καὶ αὐτὸν ὠκεανὸν τοῖς ὅπλοις ⟦ὑπ⟧άγοντας. τῷ γοῦν ὀξεῖ δρόμῳ τὰ τῆς μηνύσεως [πρὸ] τῆς ἀκοῆς ἐγίνετο, καὶ ταύτην τὴν οὕτω σωτηριώδη τοῖς πράγμασιν ἐπίνοιαν συνεῖδεν ὁ πλατύγναθος ἀπ[αλ]εῖψαι δι' οἰκείας μηνύσεως, ἀναπείσας τὸν ὁμόγνιον καὶ ὁμόψυχον τῆς αὐτοῦ βδελυρίας ὕπαρχον, περιττὴν εἶναι διαγνοὺς τὴν τῶν δημοσίων ἵππων*

v. 6 Lycophr. Alex. v. 38 15 de mens. p. 15, 18

v. 2 *επιριματος O*, quod correxi; *ἐπιρρήματος* legit et *ἐπιβλήματος* coniecit *F* 5 *ληστρυγων O*, quod correxi | *τεκνορέστης O*, corr. *F* | *λυ⟦μ⟧εών* suppl. *F* 6 *ἔπολον* et 9 *ἔπολην O*, corr. *F* 12 *ὀξύδρομον*, quod correxit, *O* 14 *βεραδους O*, corr. *F* 16 *τελούσης* add. *B* 19 . . . αγοντας O, ⟦περι⟧άγοντας coni. *F*, ⟦ὑπ⟧άγοντας scripsi

ὑπηρεσίαν, οὐ συνορῶν ὁ Νιόβης αὐτῆς λιθωδέστερος ⟨τὸ⟩ τοῦ πράγματος χρήσιμον· ὁ δὲ ὕπαρχος ἀγνοούσης τῆς βασιλείας — πῶς γὰρ ἐνεδίδου τοῖς κοινοῖς ἀτυχήμασι; — καὶ ταύτην τὴν ὄψιν τῆς πολιτείας ἠφάνισεν. ἔνθεν τῶν εἰδῶν ἀπράτων ἐνσηπομένων ταῖς κτήσεσιν, ἐξαλεύρου σχεδὸν τῆς Ἀσιανῆς τυγχανούσης, ὁ συντελεστὴς ἀπώλετο, χρυσίον πρὸς τῶν δασμολογούντων ἀντὶ τῶν εἰδῶν εἰσπραττόμενος, μηδὲ διαπωλεῖν τὰ εἴδη δυνάμενος πόρρω θαλάσσης ἀπῳκισμένος, μηδὲ δαπανᾶν, ὡς πάλαι, τῷ δημοσίῳ συγχωρούμενος. τούτοις ἠκολούθησε καὶ ἡ τῶν ἐνιδρυμένων τοῖς τόποις στρατευμάτων μετάθεσις πρὸς τὸ χρειῶδες ὑπὸ τῶν κοινῶν γενομένη, ὡς κἀκ τούτου τοῦ συγκυρήματος, τῶν καρπῶν ἐναπομενόντων τῇ χώρᾳ, τοὺς μὲν φόρους εἰς χρυσίον μεταβληθῆναι, τοὺς δὲ καρποὺς ἀπογαιοῦσθαι κατ' ἔτος. καὶ εἴθε μόνος αὐτὸς καὶ μόνην ἐκείνην τὴν ἐπαρχίαν ἔτυχε διατρώγων, καὶ μὴ καθ' ἑκάστην πόλιν τε καὶ χώραν, οἷος αὐτός, ἄλλοι καὶ χείρους αὐτοῦ τὸν ὁποῖα δ' ἂν κατορωρυγμένον ὀβολὸν ἀνασπῶντες παρῆλθον, στρατὸν ἀλαστόρων καὶ στίφη Καππαδοκῶν ἐπισυρόμενοι.

62. Συνήχθη οὖν πλοῦτος ἄπειρος τῷ δικαιοτάτῳ ὑπάρχῳ, ὥστε αὐτὸν καὶ πρὸς τυραννίδα παρακαλεῖν, τῆς αὐθαδεστέρας μοίρας τοῦ δήμου συνούσης αὐτῷ καὶ τοῖς ἐγχειρουμένοις συναπτομένης. θεραπεύων οὖν καὶ προσοικειούμενος αὐτὴν οὐκ ᾤετο πείθειν, ὡς ἐρα-

v. 2 τὸ add. *B* 6 ἐξαλιου, quod in ἐξαλιρου mutavit, *O*; ἐξ ἀλεύρου coni. *F*, ἐξαλεύρου scripsi 9 απωκεισμένον *O*, ἀποκείμενα coni. *F*, corr. *F* ep. p. 43 et *B* 12 ὑπὸ *O*, ὑπὲρ coni. *B* 14 χώρα καὶ τοὺς *O*, καὶ del. *B* 16 ἀπογεοῦσθαι *O*, corr. *F* 20 αναπῶντες *O*, corr. *F* 21 επὶ ἐπισυρομενοι *O*, corr. *F*

στὴς εἴη τοῦ κατ' αὐτὴν κόμματος, εἰ μὴ πρὸς τὴν ἔω διαβαίνων αὐτὸς καὶ στολὴν ἀνθηρῷ χλοάζουσαν χρώματι περιθέμενος διαφανὴς ἅπασι γένοιτο. οἷα μὲν οὖν ἔπραξε περὶ Κίλικας καὶ ὅσοις τοὺς δασμοὺς ἐπέβρισεν ἄχθεσι παρὰ τὴν βασιλέως εὐμένειαν, οὐδενὶ τῶν πάντων ἠγνόηται· ἐπανελθὼν δὲ πρὸς ἡμᾶς, ὡς εἶδεν ὠκεανοὺς χρημάτων περιρρέοντας αὐτόν, πάντας μὲν ᾠκειωμένους αὐτῷ καὶ τοὺς ὀψοποιούς γε μὴν ἐπὶ τὰ πρῶτα τῶν τῆς πολιτείας ἀξιωμάτων ἀνήρπασεν, ὡς μηδένα καὶ τῶν ἀργυρωνήτων αὐτοῦ ἔξω πλούτου βαθέως καὶ τιμῆς βουλευταῖς εὐκταίας ἀφεθῆναι γυμνόν. αὐτὸς δὲ ἐτρύφα, μειρακίοις ψιλοῖς καὶ μήπω, ⟨τῷ⟩ λείῳ τοῦ σώματος, ἀρρενοφανέσι καὶ πορνῶν ταῖς ἀκολάστοις συμβαλανευόμενος καὶ ἀκολασταίνων τὸ πράττειν ἅμα καὶ πάσχειν, ἐξ ἑκατέρας ὠχριῶν νόσου, ἕλκων τε ἐπὶ τῶν ἐμπύρων τὸν ἄκρατον οὕτως ἀφειδῶς, ὡς φοράδην ἐκκεχυμένον ὑπὸ τῶν γυμνῶν ἀναβαστάζεσθαι. πρὸς ⟨δ'⟩ ἀντιβολὴν ὄψων ἐπιχωννύντος τὸν οἶνον οὐκ ἐξαρκοῦντος τῇ τρυφῇ οὐ τοῦ ὑποκειμένου τῇ πόλει πορθμοῦ, οὐχ Ἑλλησπόντου σύμπαντος, τὸ λοιπὸν οὐ κτενός, οὐκ ἔλοπος, ⟨οὐ⟩ χρυσοστάθμου ἰχθύων ποικιλίας καταλειφθείσης τῷ πελάγει, ἐπὶ τὸν Εὔξεινον οἱ τῆς τρυφῆς ὑπηρέται ἐτρέποντο, μὴ τῇ θαλάττῃ ἰχθύος, μὴ τοῖς ὄρεσιν ἢ τοῖς ἄλσεσιν ὀρνέου συγχωρουμένου, μὴ Φάσιδος ὅλου ταῖς εὐωχίαις ἀπο-

v. 1 ἡμὶ *O*, εἰ μὴ corr. *F* 2 ἀνθηροχλοάζουσαν *O*, corr. *F* 3 διὰ φανὴ *O*, corr. *F* 4 δεσμοὺς *O*, corr. *F* 12 μηρακίοις *O*, corr. *F* | μηπω *O*, δὴ τῷ coni. Gu. Kroll, μήπω ⟨τῷ⟩ ego 13 λιω *O*, λείῳ corr. *F* 17 post οἶνον (v. 19) distinxere *FB*, post ἀναβαστάζεσθαι ego 18 δ' addidi 19 ἐξαρκοῦντος ⟨δὲ⟩ proposuit *B* 21 οὐ add. *F* | χρυσοστάθμους *O*, χρυσοβαφοῦς coni. *F*, χρυσοστάθμου corr. *B* 22 καταληφθήσης *O*, corr. *F*

χρῶντος· ὡς ἀφίστασθαι τοὺς κτένας, μὴ τῇ κατὰ φύσιν ἐκ τόπου εἰς τόπον πτήσει καταπιστεύοντας ἑαυτούς, ἀλλ' εἰς ἀέρα τοῖς ὀστράκοις ὡσεὶ πτέρυξι χρωμένους δοκεῖν ἐκκλίνειν τὴν Καππαδοκῶν ἀδηφαγίαν.

63. Ὅτι δὲ τυχὸν ἔλοπος τοῦ ἰχθύος μνήμη παρῆλθε, περὶ αὐτοῦ τὰ γνωσθέντα μοι παραθήσομαι. ἰχθύς ἐστιν ἁπαλός, διαυγής, ὡς πηκτὴν καὶ κρυσταλλώδη, ἀλλ' οὐ ναστὴν καὶ ἰνώδη δοκεῖν ἔχειν τὴν σάρκα· ζωοτόκος μὲν καὶ μηρυκισμόν τινα ἀνάγων. πέφυκε δὲ τοῖς εὐτυχέσιν ἐνδιατρίβειν τόποις, ὅθεν μετ' αὐλῶν καὶ κυμβάλων τοῖς Ῥωμαίοις παρετίθετο, ὥς φησιν Ἀθήναιος. ἐν δὲ τῷ νήχεσθαι σκέπει τοὺς ὀφθαλμοὺς ταῖς παραπεφυκυίαις αὐτῷ πτέρυξι. καὶ ἔλοπα μὲν αὐτὸν Ἀριστοτέλης καὶ πάντες οἱ φυσικοὶ καλοῦσι, καὶ Ἀριστοφάνης δὲ ὁ Βυζάντιος ἐν τῇ ἐπιτομῇ τῶν ἐν ἰχθύσι φυσικῶν· οἱ δὲ Ῥωμαῖοι ἀκυϊπήνσερα, δι' ἃς αὐτοὶ γεγράφασιν αἰτίας· Κορνήλιος δὲ ⟨Νέ⟩πως καὶ Λαβέριος ὁ ποιητής, ἄμφω Ῥωμαῖοι, φασὶν Ὀπτᾶτόν τινα ναύκληρον τοῦ Καρπαθίου στόλου, οἰκεῖον Κλαυδίου βασιλέως, ἐνεγκόντα ἐκ τῆς κάτω θαλάσσης ἔλοπας ἀνὰ μέσον τῆς Ὀστίας καὶ Καμπανῆς περισπεῖραι θαλάσσης.

64. Τοιαῦτα μέν τινα τοῦ ἰχθύος χάριν εἰρήσθω· περὶ δὲ τὴν ἄνοδον, μᾶλλον δὲ ἀνακομιδὴν τοῦ

v. 12 Ath. VII p. 294[e] 14 Aristot. Hist. anim. II 13 p. 505[a] 15

v. 2 καπιστεύοντας *O*, corr. *F* 7 ωσιπικτην *O*, ὡσει πηκτην corr. *F*, ὡς πηκτὴν scripsi 8 οὐν αστην *O*, corr. *F* | εἰνώδη *O*, corr. *F* | δοκῶν coni. *F* 10 αὐλῶν καὶ στεφάνων Athen. 17 δὲ πῶς *O*, Νέπως corr. *F*, δὲ ⟨Νέ⟩πως scripsi 19 οἰκίον *O*, corr. *F* 21 ανανα μεσον *O*, corr. *F* | οστειας *O*, quod correxi 23 post εἰρήσθω paragraphos distinguit *F*

Καππαδόκου στιχηδὸν αὐτῷ παρεφαίνοντο κόραι σάνδυξι περικεχυμέναι τὰ μέλη, προφανῶς ἐκκαλύπτουσαι ὅσα ʽκαλύπτειν ὄμματʼ ἀρσένων ἐχρῆνʼ. πρὸς βραχὺ δὲ τὸ προκείμενον ἀφείς, ὅ,τι τυγχάνει σάνδυξ, καὶ ποῖον εἶδος ἐσθήματος γέγονε Λυδοῖς τὸ πάλαι, ἑρμηνεῦσαι πειράσομαι. σπουδὴ γέγονε τοῖς πολυχρύσοις τὸ πάλαι Λυδοῖς εὐπορίᾳ χρυσίου, ὅσον αὐτοῖς ὁ Πακτωλὸς μετὰ τὸν Ἕρμον ἐχορήγει, καὶ χρυσοστήμονας διεργάζεσθαι χιτῶνας — καὶ μάρτυς ὁ Πείσανδρος εἰπών· ʽΛυδοὶ χρυσοχίτωνεςʼ — καὶ οὐκ αὐτοὺς μόνους, ἀλλὰ καὶ τοὺς καλουμένους σάνδυκας· χιτῶνες δὲ ἦσαν ὑπʼ αὐτῶν εὑρημένοι, λινῶν μὲν οἱ διειδέστατοι, σάνδυκος δὲ χυλῷ τῆς βοτάνης κατέβαπτον αὐτούς — σαρκοειδὴς δὲ ὁ χρὼς τῆς βοτάνης —, οἷς αἱ γυναῖκες τῶν Λυδῶν γυμνῷ τῷ σώματι ἐπισκιάζουσαι οὐδὲν μὲν ἐδόκουν ἢ ἀέρα μόνον περικεῖσθαι, κάλλει δὲ ἔξω τοῦ καλοῦ καὶ σώφρονος ἐφείλκοντο τοὺς θεωμένους. τοιούτῳ τὸν Ἡρακλέα χιτῶνι περιβαλοῦσα Ὀμφάλη ποτὲ αἰσχρῶς ἐρῶντα παρεθήλυνε. ταύτῃ καὶ Σανδὼν Ἡρακλῆς ἀνηνέχθη, ὡς Ἀπολήϊος ὁ Ῥωμαῖος φιλόσοφος ἐν τῷ ἐπιγραφομένῳ ἐρωτικῷ, καὶ Τράγκυλλος δὲ πρὸ αὐτοῦ ἐν τῷ περὶ ἐπισήμων πορνῶν ἀνενηνόχασιν. ἔνθεν οἶμαι σανδόνας ἔτι καὶ νῦν πρὸς διασυρμοῦ λέγεσθαι, οὓς τὸ πλῆθος ἀπὸ τῆς κατασκευῆς τῶν σινδόνων σανδόνας ὡσανεὶ σινδόνας οἴεται χρηματίζειν.

v. 3 Eur. Hec. 570 22 Suet. frgm. 202 Reifferscheid

v. 3 ἃ *κρύπτειν* et *χρεών* Eur. 4 *τυγχάνοι O*, corr. *B* 9 *πισανδρος O*, corr. *F* 11 *καλουμένους ἄνδυκας O*, corr. F 13 *καταβάπτοντες O*, corr. *B* 14 ους O, οἷς corr. F 21 *ἐρωτικὸν* coni. *F* 22 *τρακυλλος* O, mutavit B

65. *Τοιαῦτα μὲν ἄν τις ὡς ἐν παρεκβάσει λέγοι, ἐγὼ δὲ πρὸς τὸν Καππαδόκην ἐπάνειμι. ἐπεσπῶντο δὲ αὐτὸν πόρναι ὑπ' ἄλλων πορνῶν γυμνοφανῶν βασταζόμενον φιλήμασιν ἐκλύτοις πρὸς μῖξιν αὐτίκα βιαζομένοις· ὁ δὲ κεχυμένος ἐκ τῶν προτεινομένων ὄψων τε καὶ ποτῶν πρὸς κιναίδων ἄλλων ἐλάμβανε· τοσαῦτα δὲ ἦν καὶ οὕτω μαλακά, ὡς ἔμετον αὐτῷ κινεῖν, μηκέτι χωροῦντος τοῦ στόματος, χειμάρρου δὲ δίκην ἐξαυλακίζοντος τὴν ἑστίαν καὶ κίνδυνον οὐ μικρὸν ἐξολισθαίνουσι τοῖς κόλαξι τῷ στιλπνῷ τῶν ψηφολογημάτων ἐπιφέροντος. οὕτω διετέλει σηπόμενος, συνάπτων ταῖς νυξὶ τὰς ἡμέρας, ὥστε πέρας μὲν αὐτῷ ἑστιωμένῳ τὸν φωσφόρον, ἀρχὴν δὲ πραγμάτων τὸν ἕσπερον γίνεσθαι. ὅπως δὲ μὴ τυχὸν ἐμπόδισμα ταῖς ῥᾳθυμίαις ἐγγένοιτο, ἀπολέγει καθάπαξ τῷ τεμένει τῆς δίκης — σήκρητον αὐτὸ καλοῦσιν ἐν τοῖς δικαστηρίοις — φαίνεσθαι μόνον ὑπομένων ἐν αὐτῷ, ὅτε περιφερόμενος τῇ ἀμετρίᾳ τῶν σιτίων τοὺς ἐπιφανεστάτους τῆς τάξεως ταῖς ποιναῖς ἐξέθετο. δικαστὰς δὲ προβάλλεται ἐπὶ τῆς βασιλέως στοᾶς, ὥστε ἐκείνων τῶν ἐπὶ χρήμασι δικῶν ἀκροωμένων, αὐτόν, οἷς ἔφθημεν εἰπόντες, ἀγρυπνεῖν.*

66. *Οὐκ ἦν οὖν τὸ λοιπὸν οὐ δικηγόρῳ σπουδὴ λόγῳ κοσμῆσαι τὴν συνηγορίαν πείθειν ἄρχοντα δυναμένῳ μέγιστον, οὐδενὸς τὸ λοιπὸν ἐπὶ σηκρήτου πραττομένου, οὐ πρεσβείας ἢ μονομεροῦς ἐντυχίας ἢ διδασκαλικοῦ ἢ μετρήσεως ἢ ἐξισώσεως ἢ τινος ἑτέρου*

v. 1 post *λέγοι* paragraphos distinguit *F* 7 *αιμετον O*, corr. *F* | *αυτὸ O*, *αὐτῷ* corr. *F* 15 *ἀπολέγειν O*, corr. *F* 17 *αὐτοῖς O*, *αὐτῷ* corr. *F* • 21 *αὐτων O*, *αὐτόν* corr. *F* | *ως O*, *οἷς* corr. *B* | *ἔφθην O*, quod correxi | *εἰπών* coni. *F* 22 *οὐ⟨δὲ⟩ δικηγόρῳ* coni. *B* 23 *λόγων O*, correxerunt Gu. Kroll et F. Skutsch | *ἢ* ante *πείθειν* inserendum censuit *B* | *δυναμένων* coni. *B*

τῶν πάντων· ὥστε λοιπὸν οὐδένα τῶν ἔμπροσθεν εἰωθότων εὐδοκιμεῖν περὶ λόγους τοιούτοις τισὶν ἐπαγρυπνεῖν. τίνι γὰρ ἤμελλέ τις ἀρκέσειν, ἢ τίνος χάριν τῶν ἐπαίνων ἀντέχεσθαι, ὅτε μηδὲ μάρτυς ἦν τις ἢ ὅλως ἐπαινεῖν τὸ σχῆμα τῶν δικαστηρίων δυνάμενος; ἔνθεν ἀπόλωλεν ἡ τάξις, καὶ πραγμάτων οὐκ ὄντων ἀσχήμων ἐρημία κατερρύπωσε τὸ δικαστήριον, οἰμωγαί τε καὶ δάκρυα τῶν πρὸς τὸ πέρας τῆς στρατείας ἀφικνουμένων, εἰς γῆρας ἄπορον καταφερομένων. εἰκότως οὖν οὐδεὶς ἐπὶ στρατείαν ἀπήγγελλε, τὸ πρὶν εἰωθός, ὑπὲρ χιλίους κατ' ἔτος ἕκαστον ταχυγράφους στρατευομένους τοῖς παυομένοις τῶν πόνων καὶ μάλιστα τῷ λεγομένῳ ματρικουλαρίῳ — ἀντὶ τοῦ τῶν καταλόγων φύλακι — πόρον οὐ μικρὸν περιποιεῖν. καὶ ταύτης ἐγὼ μετέσχον τῆς ἀστοχίας, μηδὲ τὴν ἐφήμερον δαπάνην ἐν τῷ πληροῦν τὴν στρατείαν εὑράμενος. μαρτυρούσης γάρ μοι τῆς ἀληθείας, ἕνα ταχυγράφον παρ' ὅλον τὸν ἐνιαυτὸν τοῦ πληρώματος οὐκ οἶδα στρατευσάμενον, πολυτρόπου τῆς ἀφορμῆς τυγχανούσης· πρῶτον μὲν τῆς ἐν τοῖς πράγμασι παντελοῦς ἀπορίας, εἶτα δὲ καὶ τῆς τῶν καλουμένων προβατωριῶν δυσπορίστου μεταλήψεως· καὶ ὅπως, ἐρῶ.

67. Ἡ παλαιότης πέντε χρυσίνους οἶδε παρεχομένους τοῖς μεμοριαλίοις ὑπὲρ προβατωρίας ἀδιούτορος, πρὸς τὴν ἔπαρχον ἐξουσίαν καταπεμπομένης καὶ τότε, ἡνίκα κατὰ τὸν μυθικὸν ὁ χρυσοῦς αἰὼν ἐξέλαμπε·

v 26 Hesiodi Opera v 109 sqq

v. 1 *πάντων* bis scripsit *O*, alterum delevit *F* 2 *τοιούτους O*, corr. *B* 3 *ἔμελλε* scripsit *F* | *ἀρέσκειν* coni. *B* 7 *κατερριπωσε O*, *κατηρίπωσε* coni. *F* ep. p. 43, corr. *B* 8 *αφικνουμενον O*, corr. *F* 9 *πηρας O*, corr. *F* 20 τοῖς ἐν, quod in *τῆς ἐν* correxit, *O* 26 τὸ μυθικὸν coni. F, τὸν μῦθον coni. F

νῦν δέ, ὅτε οὐδὲ ὄνομα ἔστιν εὑρεῖν τῷ καθ' ἡμᾶ χρόνῳ ἀρκοῦν ἐπιδεῖξαι τὴν ἐν αὐτῷ μοχθηρίαν, εἴκοσ χρυσῶν ἔκριναν αὐτοῖς ἀποδίδοσθαι τὴν προβατωρίαν ὡς δὲ ἔγνωσαν μηδένα τολμᾶν, μᾶλλον δέ, μὴ ἔχειν τοσούτου χρήματος προβατωρίαν πορίζεσθαι, τύπον πραγματικὸν ἑαυτοῖς ἐξεμύζησαν μηδενὶ συγχωροῦντα γραμμάτων ἄνευ βασιλικῶν ἐπὶ στρατείαν ὑπὸ τοῖς ἐπάρχοις διαβαίνειν. τὸ δὲ ὅλον πρὸς ἀτιμίας· ἐπράττετο τῆς ἀρχῆς, τοῦ νόμου δόντος ἀνέκαθεν αὐτῇ, δι' οἰκείων ψήφων οὓς ἂν ἐθέλῃ τοῖς ταχυγράφοις τοῦ δικαστηρίου συναριθμεῖν· καὶ πολλοὺς αὐτὸς ἐπίσταμαι ἀπὸ διαλαλιᾶς στρατευσαμένους, διαπρέψαντάς τε ἅμα καὶ τὴν ζώνην ἐντίμως ἀποθεμένους. καὶ ταύτης δὴ οὖν τῆς ὁδοῦ τὸ λοιπὸν σχολαζούσης εἰς παντελῆ δυστυχίαν ἤλασε τὰ τῆς τάξεως· τὸ δὲ τῶν καλουμένων ματρικουλαρίων ῥιζόθεν ἀνασπασθὲν ὄλωλε φρόντισμα· καὶ τί λέγω, αὐτῶν πάντων καθομαλοῦ μετὰ τὸ τῆς στρατείας πέρας ἐν ἀπορίᾳ αἰσχρᾷ ὀδυνηρὸν τὸν λοιπὸν τῆς ζωῆς χρόνον παρασυρόντων; τὴν οὖν στρατείαν ἀπεθέμην τεσσαράκοντα ἐνιαυτοὺς προσεδρεύσας καὶ μηδὲν παρὰ τὴν ἐπωνυμίαν τοῦ πληρώματος ἀπενεγκάμενος. καὶ καλὸν μὲν ἀναχωρῆσαι τὸ λοιπόν, τῆσδε τῆς τραγῳδίας ἀποχρώσης τῆς ἐκβάσεως ἐπιδεῖξαι τὴν ἀλήθειαν· πλὴν καὶ ἄλλης χρῆναι νομίζω ἀφηγήσεως ἅψασθαι.

68. Νόμος ἀρχαῖος ἦν, πάντα μὲν τὰ ὁπωσοῦν πραττόμενα παρὰ τοῖς ἐπάρχοις, τάχα δὲ καὶ ταῖς ἄλλαις τῶν ἀρχῶν, τοῖς Ἰταλῶν ἐκφωνεῖσθαι ῥήμασιν·

v. 26 vide supra II 12 et III 42

v. 6 ἐξεμοιζησαν *O*, corr. *F* 12 διαπρεψαντες, quod corr*xit*, *O* 21 μηδε *O*, μηδὲν corr. F

οὗ παραβαθέντος, ὡς εἴρηται, — οὐ γὰρ ⟨ἦν⟩ ἄλλως — τὰ τῆς ἐλαττώσεως προὔβαινε· τὰ δὲ περὶ τὴν Εὐρώπην πραττόμενα πάντα τὴν ἀρχαιότητα διεφύλαξεν ἐξ ἀνάγκης, διὰ τὸ τοὺς αὐτῆς οἰκήτορας, καίπερ Ἕλληνας ἐκ τοῦ πλείονος ὄντας, τῇ τῶν Ἰταλῶν φθέγγεσθαι φωνῇ, καὶ μάλιστα τοὺς δημοσιεύοντας. ταῦτα μετέβαλεν ὁ Καππαδόκης εἰς γραώδη τινὰ καὶ χαμαίζηλον ἀπαγγελίαν, οὐχ ὡς σαφηνείας φροντίζων, ἀλλ' ὅπως πρόχειρα ὄντα καὶ κοινὰ μηδεμίαν ἐμποιῇ δυσχέρειαν τοῖς κατὰ σκοπὸν ⟨αὐτοῦ⟩ πληροῦν τὰ μηδαμόθεν αὐτοῖς ἀνήκοντα τολμῶσι. πράττων γὰρ καὶ γράφων καὶ καινοτομῶν καὶ ἐκ παντὸς τρόπου σαλεύων τὴν ἀρχαιότητα, οὐ τοῖς ἁρμοδίοις τῶν χωρῶν ἐπιστάταις — οὓς καλοῦσι τρακτευτὰς ἀντὶ τοῦ κλιματάρχας — ἢ διαψηφισταῖς ἐδίδου κατὰ τὸ σύνηθες τὰ πραττόμενα πρὸς πλήρωσιν, ὥστε μηδὲν παρὰ τὸν νόμον γίνεσθαι, ἀλλ' αὐτὸς διὰ τῶν οἰκείων πληροῦσθαι τὰ σύμβολα ἐκέλευσε, τῶν εἰωθότων παρέχεσθαι δαπανημάτων τοῖς ἁρμοδίοις πληρωταῖς αὐτὸς γενόμενος κύριος. εἶτα ἐκ τῆς μὴ κατὰ τὸ προσῆκον τολμωμένης τῶν χαρτῶν ἐκδόσεως μεγίστων ἀνισταμένων τοῖς ὑποτελέσι δυσχερειῶν αὐτὸς ἠγανάκτει καὶ θανάτους ἐπέφερε τοῖς οὐκ ἐπισταμένοις τὴν τῶν ἀνέδην καὶ ὡς ἔτυχεν ἀπολελυμένων χαρτῶν δύναμιν· καὶ νόμος ἐκράτησεν ἐξ ἐκείνου καὶ πάντες ὡς ἔτυχε καὶ γράφουσι καὶ πληροῦσι καὶ ἀπολύουσι τὰ παντελῶς αὐτοῖς ἀγνοούμενα, τὸ πρὶν μυρίοις κατησφαλισμένα τρόποις, τοῖς τε λεγομένοις

v. 1 ἦν addidi 9 ἐμποιεῖ *O*, corr. *F* 10 αὐτοῦ add. *F* | πληρουντα *O*, πληροῦν τὰ corr. *F* 14 κληματουρχας, quod in κληματάρχας correxit, *O*; κλιματάρχας emendavit *F* 15 διδου, postea addito ε, *O* 19 γινομενος O, corr. F 21 δυσχερων *O*, corr. *B* 23 ἀναιδην *O*, corr. F

κοττιδιανοῖς, οἷον ἐφημέροις, τοῦ ἀβ ἄκτις, τοῖς ι προσφόροις σκρινίοις καὶ αὐτοῖς δὲ τοῖς ἐξ αὐτῶι ἔχουσι τὸν πόρον. καὶ τί μακρηγορῶ; πάντα παντελῶς διαπέπτωκε μηδεμίαν ἐπίγνωσιν τῶν πρὶν κατορθωμάτων διασώζοντα.

69. Οὕτω τοῦ μιαρωτάτου πολεμίου τῶν νόμων διαγενομένου ἐπεστράφη θεός, ἐκδοῦναι τὸν αἴτιον τῶν κακῶν ταῖς ἰδίαις πράξεσι ψηφισάμενος, πείθων αὐτόν, ὡς

ἔστι δίκη νέμεσίς τε κακοῖς κακότητα φέρουσα.

τοῦ γὰρ ἠπιωτάτου βασιλέως μηδὲν τούτων ἐπισταμένου, πάντων δὲ διὰ τὴν ἄκρατον δυναστείαν, καίπερ ἀδικουμένων, συνηγορούντων τῷ πονηρῷ Καππαδόκῃ καὶ τοῖς πάντων ἐξοχωτάτοις ἐπαίνοις ἐπ' αὐτῷ παρὰ βασιλεῖ χρωμένων — τίς γὰρ ἂν ἐτόλμησε καὶ μόνης ἐπαίνων χωρὶς μνησθῆναι τῆς αὐτοῦ προσηγορίας; — μόνη ἡ ὁμόζυγος γυνή, κρείττων τῶν ὄντων ὁτεδήποτε ἐπὶ συνέσει καὶ συμπαθείᾳ τῶν ἀδικουμένων ἀγρυπνοῦσα, μὴ φέρουσα τὸ λοιπὸν περιορᾶν τὴν πολιτείαν βυθιζομένην, οὐ μετρίοις λόγοις ὡς τὸν βασιλέα ὁπλισθεῖσα διαβαίνει, [ἅπαν]τα αὐτὸν τὰ τέως διαλανθάνοντα διδάσκουσα, καὶ ὡς κινδυνεύοι οὐ τὸ ὑπήκοον μόνον ἐναπολεῖσθαι τοῖς κακοῖς, ἀλλὰ καὶ αὐτὴν ἐγγὺς σαλεύεσθαι τὴν βασιλείαν. εἰκὸς οὖν ὁ βασιλεύς, καλὸς ὢν καὶ πρὸς ἀμύνην τῶν κακῶν βραδύς, ἀμηχάνοις ἀπορίαις εἴχετο, μηδὲ ἀποκινεῖν τὸν καταστροφέα τοῦ πολιτεύματος εὑρίσκων — οὕτως ἔτυχεν, οἷα κακῶς

v. 11 ηπιστατου, quod correxit, *O* 12 δυνασιαν *O*, corr. *F* 17 κριττον *O*, corr. *F* 24 εικως *O*, εἰκὸς scripsit *F*, εἰκότως coni. *B* 25 ἄμυναν scripsit F 27 κακὸς coni. F

ταράξας τὰ πράγματα καὶ τοὺς φόρους ἀπορίᾳ καὶ συγχύσει ἀδιακρίτῳ σκοτώσας, ἀλλήλαις τὰς λεγομένας ἐπινεμήσεις ἐμμίξας, ὡς μηδέποτε πέρας αὐτῷ γενέσθαι τῆς ἀρχῆς μηδέ τινα τῶν ἀπὸ τῆς βουλῆς ἢ ὅλως τοῦ δικαίου πέρι ἀγρ<υπν>οῦντα τολμᾶν ἐπιλαβέσθαι τῆς διοικήσεως —· ἐπεκούρει δὲ ὅμως τοῖς ὑπηκόοις ὁ βασιλεὺς καθ' ὅσον ἀνθρώποις δυνατόν.

70. Οἱ δὲ ὑποτελεῖς τὸ λοιπὸν οὐκ οὔσης αὐτοῖς οὐδὲ ἀφεθείσης περιουσίας διὰ τὰς συνωνὰς καὶ ἀγγαρείας καὶ τοὺς ἐξ αὐτῶν πόνους, γυναικῶν τε σὺν ἐπιμαζίοις βρέφεσιν ἀχθοφορουσῶν καὶ διακομιζουσῶν τὰ εἴδη ἐκ μεσογείου μακρᾶς ἐπὶ θάλασσαν ἀνελεεῖς καὶ ἀτάφους ἐπὶ τῆς ὁδοιπορίας θανάτους τῶν τε τοὺς δασμοὺς πρατ[τομένων πο]λυτρόπους καὶ πολυσημάντους ἐφό⟦δους, αἰτούντων⟧ [κηνσουάλια ὁλογρα]φικὰ βουλευτικὰ ὁμόδουλα ὁμ[όκηνσα ἀφαντικὰ ἐγ]καταλελειμμένα πολιτικὰ ταμιακὰ [δηπου]τᾶτα [ῥ]ε[κολ-λ]ᾶτα ⟦ῥ⟧ελεγᾶτ[α ῥεφοῦσα κεραστ]ισμοὺς [ῥοπ]ὰς [παραλλα]⟦γ⟧ὰ⟦ς⟧ τόκους ἐνδοματικὰ μητατορικά, [καὶ με]τὰ τὴν [τούτων] ⟦ἀν⟧ελεῆ φόρων ἀπαίτησιν ἐπὶ τοῦ νομίσματος ἄλλων μυρίων ὥσπερ ἐξ ὕδρας ἀνισταμένων κακῶν τοῖς ὑποτελέσιν ὑπεράνω, μεριτικῶν σουφραγιῶν [..............ίμων] κομιτατησίων μονοπτέ-

v. 5 περιαγροῦντα *O*, quod correxi; περιαλγοῦντα aut περιεργοῦντα coni. *B* 6 ὁμοίως *O*, ὅμως τοῖς corr. *F* 9 ἀγγαρίους *O*, quod correxi 11 ἐπιμαζίους *O*, corr. *F* 12 ηδη *O*, εἴδη corr. *F* 13 ἄταφοι . . θάνατοι *O*, quod correxi 14 τοῖς *O*, τοὺς corr. *F* 15 supplevi 17 [δεπο]τατα *O*, quod mutavi | ρεκολατα *O*, quod correxi 18 . ελεκατα *O*, quod supplevi et correxi | [κεραστι]σμοις *O*, corr. *F* 19 [παραλλα] . α *O*, quod explevi 20 . . ελληφορον *O*, quod supplevit et correxit Th. Preger 22 σουσοσπαι\[δων O, quod correxi ex Iustin. *Nov.* *VIII* prooem. 1

ρων μονασ⟦τικῶν⟧ [ἀπημελημ]ένων λευκοχρύσων, ⟦καὶ τὸ⟧ πέρας τὰς ἐν⟦ιδρυμένας ἀεὶ στρατιὰς⟧ [καὶ] ⟦τ⟧ῶν ὑπερμαχούντων τὰς κατ' α⟦ὐτῶν τῶ⟧ν προνοουμένων λαφυραγωγοὺς ἁρπαγάς, βίας τε καὶ φθορὰς τῶν παραπορευομένων διὰ τῶν ἐπαρχιῶν στρατευμάτων, ὅσα κατὰ τὸ ἀναγκαῖον ἐπὶ τοὺς πολέμους ὁρμᾶν συμβαίνει, διὸ κουφοτέραν τὴν ἐπιδρομὴν τῶν βαρβάρων τῆς ἐπιστασίας τῶν οἰκείων τὸ ὑπήκοον ἑαυτῷ συλλογίζεται· διὰ ταύτας τοίνυν τὰς αἰτίας, μᾶλλον δὲ περιστάσεις, τὰς ἐνεγκούσας αὐτοὺς ἀπολείποντες [ἅπαν]τες καὶ ῥαθυμεῖν μᾶλλον ἢ κάμνειν σωφρόνως ἐθέλοντες, οἷα μηδὲ συγχωρούμενοι, τὴν βασιλέως πόλιν ὄχλων ἀχρήστων ἐνεφόρησαν· καὶ πολὺς ἦν ὁ νόμος πρὸς ἀπειρίαν πταισμάτων τῷ πλήθει συνεκτεινόμενος, ὥστε καὶ τοὺς τὸ πρὶν ἠμελημένους ἄρχοντας προαγαγεῖν, πραίτοράς τε καὶ κυαισίτορας, κατὰ τήν ποτε κρατήσασαν παρὰ Ῥωμαίοις συνήθειαν, ὡς προαφηγησάμεθα. τῶν δὲ τοῖς ἁμαρτήμασι τοῦ δήμου ἐπεξιόντων σφοδρότερον ἀναστὰν τὸ πλῆθος καὶ εἰς κακοδαίμονα συναχθὲν ὁμόνοιαν, πᾶσαν ἐγγὺς τὴν πόλιν ἐνέπρησε. καὶ ὁ μὲν Καππαδόκης [ἄφ]αντος ἐγένετο, ἀρχῆς δὲ λαβόμενον τὸ πῦρ ἐκ τῶν τῆς αὐλῆς εἰσόδων, εἶτα ἐξ αὐτῶν ἐπὶ τὸ πρῶτον ἱερόν, ἐξ οὗ ἐπὶ τὴν Ἰουλιανοῦ [γερουσίαν] — ἣν καλοῦσι σενᾶτον κατὰ τὴν Αὐγούστου

v. 17 vide supra II 27

v. 1 *μονασι* . . . *O*, quod supplere temptavi | [*απηλλημ*]*ενων* *O*, quod correxi 2. 3 quae deerant supplevi; *ἐνιδρυμένας ἀεὶ στρατιὰς* sumpsi e p. 152, 11 6 *πολεμους* bis scriptum in *O*, alterum del. *F* 9 *αρτιας O*, *αἰτίας* corr. *F* 12 ⟨*εἰς*⟩ *τὴν* coni. *F* | *ὀχλον ἀχρηστον O*, quod correxi; *ὄχλου ἀχρήστου* coni. *B* 14 *συνεκτινομενος O*, corr. *F* 19 *κακοδαίμονας O*, corr. *B* | *ὁμονοίας* coni. *F* 23 *ων O*, *οὗ* correxi 24 *σηνατον O*, quod mutavi | *καὶ τὴν* coni. *F* ep. p. 44

[πανήγυριν — ἀφ' ἧς ἐπὶ τὴν] ἀγοράν, ἣν καλοῦσι [Ζεύ]ξιππον ἀπὸ Ζευξίππου βασιλέως, [ὑφ' ᾧ ἐπὶ τῆς τριακοστῆς ὀγδόης] Ὀλυμπιάδος Μεγαρεῖς εἰς Βυζάντιον ἀποικήσαν]τες πρὸς τιμὴν αὐτοῦ [τὴν ἀγορὰν οὕτως] ἐπωνόμασαν, καθάπερ τὰς Χαριδήμου στοὰς [οἱ Κύζ]ικον οἰκίσαντες Μεγαρεῖς· καὶ οὗ⟦τος⟧ βασιλεῦσαι Ἑλλήνων μνημονεύεται, ὡς ὁ Κά[στωρ ἐ]ν ἐπιτ[ομῇ χρονικῶν] ἀπέθετο· τὸ γὰρ δημόσιον βαλανεῖον Σεβήρειον ἀπὸ Σεβήρου, [Ῥωμαίων ἡγησαμένου, παρωνόμασται, ὃς ἀρθρίτιδι νόσῳ ⟦ἐνοχλο⟧ύμενος ἐδείματο τὸ βαλανεῖον, προσκαρτερῶν τῇ Θρᾴκῃ διὰ τὴν πρὸς Νίγρον διαφοράν·] — τῶν δὲ τηλικούτων σωμάτων [εἰς πῦρ] μεταβαλόντων ἡρπάγησαν αἱ μέχρι τῆς Κωνσταντίνου ἀγο[ρᾶς τὴν πόλιν] διευθύνουσαι στοαί, κάλλει καὶ μεγέθει κιόνων εὐγράμμως [διασκη]νοῦσαι τὴν πλατεῖαν· Καμπανοὶ ταύτας εἰς χάριν Κωνσταντίνου λέγονται κατασκευάσαι, ἀπὸ Παρθενόπης τῆς καθ' ἡμᾶς Νεαπόλεως καὶ τῆς ποτε Δικαιαρχίας, νῦν δὲ Ποντεόλων, εἰς Βυζάντιον πρὸς χάριν, ὡς εἴρηται, τοῦ βασιλέως παραγ[ενόμ]ενοι. συναπετεφρώθη οὖν — πῶς γὰρ οὐκ ἤμελλον; — τὰ συνημμένα τοῖς μέσοις πρὸς τὸ βόρειον καὶ νότον ἄνεμον οἰκοδομήματα, καὶ ὄρος ἦν ἡ πόλις καὶ βουνοὶ μέλανες ἀπερρωγότες κα-

v. 7 cf. Castoris frg. 6 (coll. C. Mueller in calce Herodoti Dindorfiani p. 167)

v. 3 *μεσγαρις O*, corr. *F* 4 *πρὸς τιμῆς* coni. *B* 5 *χαριδημους O*, corr. *F* 6 *οικησαντες O*, corr. *F* | *καὶ ου . . . . βασιλεῦσαι O*, quod supplevi; *καὶ* ⟦*γὰρ*⟧ *βασιλεῦσαι* scripsit *F* 8 *σεβηριον O*, corr. *B* 10 supplevit *F* ep. p. 44 13 *μεταβαλλόντων O*, corr. *F* | *μη O*, *αἱ* corr. *F* 14 *διευθηνουσαι O*, corr. *F* 20 *παραγ[εναμ]ένων O*, *παραγενομένων F*, corr. B 21 *ἔμελλον* scripsit *F* | *τῇ Μέσῃ* coni. Th. Preger 22 *οἰκοδομητα O*, corr. *B*

θάπερ ἐν Λιπάρῃ ἢ Βεσβίῳ, κόνει καὶ καπνῷ καὶ δυσωδίᾳ τῶν ἀποτεφρουμένων ὑλῶν ἀοίκητος, φόβον ἐλεεινὸν τοῖς θεωμένοις ἐνσείουσα. καὶ ὁ μὲν δῆμος, μᾶλλον δὲ τὸ βάρβαρον καὶ ἀνελεὲς πλῆθος ποιναῖς ταῖς ἀξίαις πρὸς αὐτῆς ὑπεστάλη τῆς νίκης, [εἰς] πέντε σύνεγγυς μυριάδας σιδήρῳ χύδην δ[ια]φθαρέν· ἡ δὲ πόλις ἔρριπτο πυρὶ καὶ χώμασι καὶ λειψάνων ἀμορφίᾳ κατάπληκτος. ἀλλὰ θεός — μόνου γὰρ ἦν αὐτοῦ — τὴν τοσαύτην παραμυθήσας . . . .

71. . . . . [ἐνίκησε δὲ ὅ]μως [μ]ετὰ θεὸν ἡ βασιλέως [τύχη κατὰ] πά[ντα] τὸν ἐρειπιῶνα καὶ ἐν βραχεῖ χρό[νῳ· κρείττων] δὲ ἡ πόλις καὶ ⟦καλλίων ὤ⟧φθη ἰσχυρά τε ὁ[μ]οῦ [καὶ ἀσφαλής, καθά]πε[ρ ἐξ ἀ]μόρφου [ὅλου αὖ]θις τοῦ δη[μιουργοῦ κ]αθάπερ τό⟦δε τὸ⟧ πᾶν εἰς φῶς μόνῃ τῇ δυ[νά]μει [τῆς] βου[λῆς] ἀνακαλοῦντος.

72. [Πέρ]ας οὖν τοῦτο τῆς πρώτης λῃσταρχίας τοῦ πονηροῦ Καππαδόκου. ἀντίρροπον δὲ θεὸς τῇ κακίᾳ εὐμένειαν ταῖς συμφοραῖς ἐπιδέδωκε. Φωκᾶς γέγονεν [ἀνὴρ] εὐπατρίδης, [Σα]λβίου μὲν τοῦ δικαιοτά[του] ἔγγονος, Κρατέρου δὲ τοῦ πάντων εὐσεβεστάτου π[αῖ]ς, ὃς τὰ πρῶτα τοῖς λεγομένοις σιλεντιαρίοις τῆς αὐλῆς

v. 10 ante ἐνίκησε septem versus quinarum fere et trigenarum litterarum desunt, qui iam Fussii temporibus evanuerant. hodie nihil in codice legitur nisi v. 1 extr. τὴν πό⟦λιν⟧, 3 med. τεχ, 5 extr. ν τοῦ παρ, 6 extr. σ προτερο, 7 med. γ⟦ί⟧ας, 7 extr. τῶν ὑπ ... 11 [κατὰ] πά[ντα] σ[υ]ν[ει]πων *O*, κατὰ πάντα συνειποῦσα coni. *F* ep. p. 44, καθάπερ ἔφθην εἰπών coni. *B*, ego emendare studui 12 δὲ ἡ *O*, τε ἡ coni. *F* ep. p. 44 | quae sequuntur, explevi 14 το .... παν *O*, quod supplevi, τό⟦τε⟧, πᾶν volebat *F* 17 ante πέρας legitur inscriptionis loco ΛΟΓΟC in *O*, libri quarti initium falso a librario indicatum 21 εὐσεβεστάτους *O*, corr. *F* 22 ως *O*, ὃς corr. *F*

διαπρέψας, τοὺς πώποτε ἐπὶ τῇ μεγαλειότητι ψυχῆς ⟨θαυμαζομένους⟩ μετὰ δόσεων ἀμετρίας ὑπερβαλλόμενος, ἐπὶ τοὺς πατέρας τῆς βασιλείας κατ' ἀξίαν ἀνελήλυθε, πλούτῳ ⟨δὲ⟩ [κομ]ῶν καὶ τοῖς δεομένοις ἐπαρκῶν αὐτὸς ἑαυτῷ μόνῳ τὴν φειδωλίαν διέ⟦σωζ⟧εν. δίαιτα γὰρ ἦν αὐτῷ καὶ τρ[ο]φῆς ἀσιτία τοσαύτη, ὅση τοῖς ἄγαν μεμετρημένοις τὸν βίον ἐν εὐτελέσιν ἠριθ[μεῖ]το. καὶ τῆς μὲν [περιου]σίας τύχης αὐτοῦ ἀξίως τὰ τῆς ἑστίας διέ⟦νεμε⟧ τοῖς φίλοις· αὐτὸς δὲ μόναις τῶν δαιτυ[μόνων] εὐθυμίαις ἐτρέφετο σεμνὸς μὲν καὶ φιλόκαλος ὤν, ἀλλ' οὐ καλλωπιστής, ἐξ αὐτοῦ καὶ μόνου ...

73. . . . *καὶ δόλους ῥάπτειν, αἰτεῖν μὲν ἠρυθρία τῶν ἀναγκαίων δεόμενος· ἔστενε δὲ καὶ οἴμωζε, καὶ δάκρυσι πεφορτωμένος τὰς ὄψεις δῆλος ἦν καὶ τοῖς ἄγαν ἀγνοοῦσιν αὐτόν, ὡς εἴη λυπούμενος. τοῦτον δ Φωκᾶς ἐκ τύχης ἰδὼν καί, ὡς ἀνὴρ ἀγαθὸς καὶ λαβεῖν ἱκανὸς ψυχῆς ὀδύνην ἐκ μόνης ὀλιγωρίας [τοῦ π]ροσώπου γνωριζομένην, εἰπεῖν τι πρὸς αὐτὸν ἀνε⟦βά⟧λ-*

v. 1 *μεγαλητι O*, *μεγαλότητι* corr. *F*, *μεγαλειότητι* scripsi 2 *θαυμαζομένους* add. Gu. Kroll 3 *ανηλυθε O*, corr. *B* 4 *δὲ* add. *B* | *κωμων O*, corr. *B* 6 *αὐτη O*, *αὐτῷ* corr. *F* | *τρ[υ]φης O*, corr. *B* 7 *μεμετριμένοις O*, corr. *F* 9 suppl. *F* | *δαι[μονων] O*, corr. *B* 10 *ἐστρεφετο O*, corr. *F* | *σεμνη O*, corr. *F* 12 ante *καὶ δολουράπτειν* (sic *O*, *δολορράπτειν* coni. *F*, corr. *B*) deest una codicis pagina, quam ut legeret, ne Fussio quidem contigit; desiderantur igitur triginta duo versus trigenarum quinarum fere litterarum, quarum has solas cognovi: v. 3 init. ..*γετας*, 6 init. *ἀσκέπαστον*, 7 init. *ἀπάδο⟦ντα⟧*, 13 init. *ἀ⟦ν⟧αρπά⟦σα⟧ς ⟦ἔ⟧χοι· φ..*, 17 init. *β]ασιλέως τὰ*, 20 init. *συμ.ριως*, 21 init. *ηγ⟦ε⟧ δ πν ...*, 21 med. *σκηπ]τροκρα⟦τεῖν*, 24 extr. *ὄντων τῶν*, 25 *ἡματω⟦μένο⟧ν ἀ...*, 26 med. *εσι⟦ν ἄ⟧λλην*, 27 extr. et 28 init. *ὁμο⟦ίως⟧ καθέστηκεν· τὰς μείζ⟦ονας δὲ δ⟧ Σπεκιῶσος λ..ας*, 28 extr. ..*καν δη⟦μ⟧ο..*, 29 init. ..*ωσι τὰ ἐπὶ τὸ*, 29 med. *μ]ετρίω⟦ς*, 30 extr. *τηνμας πάτριο⟦ν*, 31 extr. ..*στον δὲ..*, 32 extr. *π..εσσο ..... υπα ....* 18 suppl

λετο· ἐμὲ δὲ μεταστειλάμενος — καὶ γὰρ ἀγαπᾶν [πα]ρὰ τοὺς ἄλλους ἠξίου, ἀπατώμενος μᾶλλον ὡ[ς εἴην π]ερὶ λογυδρίων τινῶν δῆθεν οὐκ ἄφροντις — καὶ χάριν ⟦ἐθέλων⟧ [παρ'] ἐμοῦ λαβεῖν, ἠξίου περινοῆσαί τινα πρὸς διδασκαλίαν αὐτῷ τῆς Ἰταλίδος φωνῆς, [Λί]βυν ἐπιζητῶν· αὐτοὺ[ς] γὰρ ἔφασκεν ἐγνωκέναι στομυλωτέρως παρὰ τοὺς Ἰταλοὺς διαλέγεσθαι. ἑνὸς δὲ τῶν παρόντων Σπεκιώσου μνήμην ἀνάγοντος ἐξαναστὰς ἐμέ τε καὶ τὸν εἰπόντα ἀντεβόλει, πρὸς ἔντευξιν ἐκείνου παρακαλῶν· ἐγὼ δὲ ἕρμαιον ἡγησάμενος ὡς τάχος τὸν Σπεκιῶσον ἄγω πρὸς αὐτόν· καὶ γὰρ ἠπιστάμην τὸν ἄνθρωπον. ὁ δὲ λαβὼν αὐτὸν κατ' ἰδίαν γονυπετῶν διετέλει καὶ σωφρόνως ἐκλιπαρῶν ᾔτει τῆς οὔσης αὐτῷ μεταδοῦναι φωνῆς. ἐμὲ δὲ χωρίσας βραχὺ τοῦ λόγου ἑκατὸν χρυσίνους λαβεῖν ἠξίωσε δοθησομένους ἐκείνῳ· ὃ δὴ πράξας ἐγὼ καὶ τῶν λεγομένων συστατικῶν ἕνεκα τῷ Σπεκιώσῳ δοὺς ἔπεισα συχνότερον πρὸς τὸν πάντα ἀγαθὸν ἐκεῖνον ἄνθρωπον φοιτᾶν. ⟨ὁ δὲ⟩ — πῶς γὰρ οὐκ [ἤ]μελλεν; — ὄρθριος παρῆν, πρὸ τῆς αὐλείου τοῦ δῆθεν ἠξιωκότος αὐτὸν παραφυλάττων· ὁ δὲ μεταστειλάμενος καὶ θεραπ[εύ]σας ἀντεβόλησε, μὴ πρότερον προσεδρεύειν αὐτῷ, πρὶν αὐτὸς διαστειλάμενος ἀξιώσῃ γενέσθαι πὰρ' αὐτόν. καὶ τὸ λοιπὸν ὁ Σπεκιῶσος συμβάλλων τὴν τέχνην περιόδῳ τοῦ σκέμματος ⟦ἐπαύ⟧θη τῆς προσεδρίας· οὐδὲ γὰρ ἔμελε τῷ Φωκᾷ, [μάλα π]ρὸς

v. 2 ω[σεὶ π]ερὶ *O*, corr. *B* 3 λογουφιων, quod in λογοιδρυων mutavit, *O*; corr. *B* 4 suppl. *F* 6 αυτο[ς] *O*, corr. *F* 12 καθιδιαν *O*, corr. *F* 15 εκεινο *O*, corr. *F* 16 συστατικον *O*, corr. *F* 18 ὁ δὲ add. *F* 19 ἔμελλεν *F*, [ἤ]μελλεν scripsi 22 αξιως *O*, corr. *B* 24 τη τέχνη *O*, quod correxi; τῇ τεχνικῇ coni. *F* | ...θει *O*, quod supplevi et correxi; ⟦ἔφ⟧θη *F* 25 ἐμελλε *O*, quod correxi

ἑκατέραν παρεσκευασμένῳ παι[δεί]αν, μαθητείαν εὑρεῖν ἐκείνοις, ἃ παρὰ τοὺς πολλοὺς ἀξιολόγως ἠπίστατο. καὶ τίς ⟨οὐ⟩ στοχάσεται ἐκ τῶν περὶ ἀνθρώπους τἀνδρὸς κατορθωμάτων, πόσης [ἦν] περὶ τὸ θεῖον εὐσεβείας; μιᾶς οὖν πράξεως αὐτοῦ ἐπιμνησθεὶς πέρας ἐπιθήσω ταῖς ὑπὲρ ἀριθμὸν αὐτοῦ τῶν ἀγαθῶν ἀφηγήσεσιν.

74. *Πρὸς Πεσινοῦντι, πόλει [τῆς Γαλα]τίας — οὕτω δὲ τὸ χωρίον ὀνομασθῆναι [συμβέβηκεν] ἐκ τοῦ πεσεῖν ἀπείρους ἐκεῖ Γαλατῶν τῶν περὶ Ῥοδανόν, ἐπιπεσόντων [τῇ] χώρᾳ Βρέννου ἡγησαμένου καὶ τὴν δμώνυμον [αὐ]τοῖς χώραν ἐκδικεῖν βιαζομένων, ὡς Φενεστέλλας καὶ Σισέννας οἱ Ῥωμαῖοί φασιν, ὧν τὰς χρήσεις ὁ Βάρρων [ἐπὶ] τῶν ἀνθρωπίνων πραγμάτων ἀνήγαγεν· [ἐγὼ δὲ τὰς] βίβλους οὔπω τεθέαμαι — ἐκεῖ τοίνυν [τέμενος ἦ]ν τῇ ἀχράντῳ στρατιᾷ τῶν ἱερῶν ἀγγέλων τοῦ ἀρρήτου θεοῦ καθωσιωμένον· περὶ οὗ μετὰ πάντας ἀνθρώπους γνοὺς ὁ Φωκᾶς, ὡς Ἔλλαμός [τις τῷ θ]είῳ χρυσίου λίτρας εἴκοσιν ὑφ' ἓν εἴη δούς, [τοῖς ἱε]ρουμένοις πρόσοδον ὀγδοήκοντα χρυσῶν προσ[γενέσθαι], τῷ ἱερῷ εἰς φιλοξενίαν, ἐσπούδασε.*

75. *Τοιαύ[ταις] μὲν οὖν τέχναις ἐπὶ τῆς πόλεως ἐχρῆτο, χρυ[σίον] δὲ κατ' ἔτος ἕκαστον ἐπὶ λύτροις αἰχμαλώτ[ων λαθραίως] ἐκχέων διετέλει, δακρύων, εἴ πού τις [περὶ πο]λεμίων ἐφόδου καὶ ἀπαγωγῆς αἰχμαλώτων [πρὸς] αὐτὸν διεξίοι τῷ λόγῳ. καὶ μάρτυρα*

v. 11 Fenestella: Hist. Rom. frg. coll. H. Peter p. 273 no. 8 12 Sisenna: Hist. Rom. rell. coll. H. Peter p. 296 no. 133

v. 1 *παρασκευασμένω* *O*, corr. *F* | *ευρεκεινοις* *O*, corr. *F* 3 *οὐ* addidi 4 *ποσος* *O*, *πόσης* corr. *F* 7 *προσπεσειν ουν τηι* *O*, corr. *F* | *Πεσσινοῦντι* volebat *B* 12 *σισενας* *O*, quod mutavi 16 *τῶ ἀρρήτω θεῶ* *O*, corr. F 18 *επιδους* O, *εἴη δοὺς* scripsi 25 *διεξιη* *O*, quod mutavi

τὴν Ἀλήθειαν [οὐκ αἰδ]οῦμαι καλεῖν ἀλη[θεύ]ων· οἶδα κ[οιτωνιτῶν [αὐτῷ] χρ]υσίου τοσούτου [τυχ]ὼν ἀπόντος [αὐτοῦ] πρὸς τὸ πλῆθ]ος τῶν λυ[τρου]μένων. [ταύτης γὰρ] [τῆς φιλανθρωπίας ὑπερ]ανθούσης [ἐσθῆτα διεπώλησεν] καὶ προσθεὶς ὅσον ἦν αὐτῷ δυνατὸν πρὸ[ς χρεί]αν τῶν λύτρων ἐξέπεμψε [τούτων ἀμύνην ἀντί]ρροπον καὶ Θεοπρέπους ἀνέλαβε τὸν [υἱὸν] κατὰ πάντα τρόπον [ἐκπαιδεύσας] τούτοις ἐνασχολεῖσθαι. ὁ δὲ τὸν παριόντα ⟨πατέρα⟩ καὶ μαρτυροῦντα τοῖς γινομένοις κατ' εὐχὰς ἀπενίκησεν, ὡς ἐκεῖν[ον] χάριτας εἰδέναι τῷ θείῳ, ὅτι τῷ σώματι τελευτῶν ταῖς εὐσεβείαις ἀθάνατος διὰ τῶν παρὰ τοῦ παιδὸς πραττομένων διαμένοι.

76. Τοσοῦτον ὄντα τὸν ἄνδρα χαίρων ὁ [βασιλεὺς] πείθει καμάτῳ πολλῷ, κοινὴν εἰς ἅ[παντας] ἐπιδείξασθαι [τὴν οὖσαν αὐ]τῷ τῆς ψυχῆς ἐλευθερίαν καὶ τὴν ὑπὲρ τῶν κοινῶν ἀναδέξασθαι φροντίδα καὶ διϊθῦναι τὸν οἴακα βυθιζομένης ἤδη τοῖς κακοῖς τῆς ὅλης πολιτείας. ὁ δὲ ἄκων — οὐδὲ γὰρ ἀσφαλὲς βασιλέως αἴτησιν παρακρούσασθαι τοιούτου — τὴν μὲν λειτουργίαν [ὑπῆλθε]· [δεδ]ιὼς δὲ ὅμως καὶ τῷ μεγέθει τῶν φό[βων] ἰλιγγιῶν εἶδε τὸν θεὸν παρόντα βοηθεῖν αὐτῷ προθυμούμενον. ἅμα γὰρ τὴν ἀρχὴν παραλαβὼν καὶ τῆς αὐλῆς προφανεὶς ἐπὶ τῆς ἀ[πήνης] ἀνεφέρετο, ⟨καὶ⟩ σύμπας ὁ δῆμος ἡλικία τε πᾶσα [καὶ] φύσις ὁμοῦ τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἀνατείναντες ὕμνους εὐχαρι-

v. 2 *κυτονιστων O*, corr. *F* | lacunam expl. *F* 4 explere temptavi 5 *διεπωλεσεν O*, quod correxi 6 *προ. ... αν O*, quod explevi; *πρό*[[*νοι*]]*αν* scripsit *F* ep. p. 45 | [*τουτον*] *O*, quod correxi 7 *ἀμύνειν καὶ ἀντίρροπον τοῦ θεοπρεποῦς* coni. *F* ep. p. 45 9 *πατέρα* add. F. Skutsch 10 *εκειν*[*ων*] *O*, quod correxi 18 *οικα*, quod correxit, *O* 21. 22 suppl. *F* 25 *καὶ* addidi

στηρίους μετὰ δακρύων ἀνέφερον τῷ θεῷ τοσαύτης ἀξιώσαντι προνοίας τοὺς [μυρίοις] κακοῖς κατεστρωμένους. πείθειν δὲ θεὸς ἀνθρώπους ἀξιώσας δείκνυσι παρεῖναι τοῖς πραττομένοις καὶ βουλαῖς αὐτοῦ προϊέναι τὰ χρηστά. [ὡς γὰρ ἔστη] τῆς ἀπήνης ἔμπροσθεν ὁ ὕπαρχος, [βέλος ἀνα]θεὶς τόξῳ πονηρός [τις] — ἔτι γὰρ ὁ δῆμος τεύχεσιν ἐχρῆτο — στοχάζεται [μὲν αὐ]τοῦ, [τοῦ δὲ βέ]λους ἀμπλακόντος αὐτὸς [μὲν ἀβλαβὴς] ⟦ὢν ἄνθρ⟧ωπος τῆς προνοίας φανερῶς ἀπεδείχθη. τού[του δὲ συμ]βάντος ὁ μὲν δῆμος τῶν ὅπλων καὶ θορύβων [παρε]χώρει τόν τε κράτιστον ἀνυμνῶν βασιλέα ἐν εὐ[θυμ]ίαις [ἡδυ]παθῶν καὶ σκιρτήμασι διετέλει, ἀθρόως ἐκ μεγίστων θορύβων καὶ φόβων εἰς αὐλοὺς καὶ χορείας [μ]εταβαλών. πᾶσα δὲ ἀφθονία τῶν ἐπιτηδείων κατελήλυθε τὴν πόλιν, ἀδεῶς καὶ μετ' εὐφροσύνης πάντων τῶν ὁπουδήποτε κρυπτομένων καὶ διαφυγόντων τοὺς κινδύνους εἰσρεόντων τῇ πόλει, καὶ παντοίαν συμφορούντων εὐετηρίαν· ἤδη γὰρ ἅπας ⟦ἤλ⟧πισεν ἀβλαβῆ καὶ λυσιτελῆ τὸ λοιπὸν ἔσεσθαι [τοῖς ὑπη]κόοις τὴν τοῦ βίου μέθοδον, τῶν γε ἀγαθῶν [ἐν αὐτῇ] πλημμυρούντων· ἐξ ὧν ὁ βασιλεὺς μετὰ τὸν αὐτὸν ὕπαρχον ἐνάρχεται προθύμως ἀνιστᾶν τὸ τοῦ μεγάλου θεοῦ τέμενος· καὶ ποταμὸς ἔρρει χρημάτων ταῖς βασιλέως εὐχαῖς καὶ τῇ δικαιοσύνῃ τοῦ ὑπάρχου χεόμενος. τέσσαρας οὖν χιλιάδας αὐτίκα χρυσίου λιτρῶν ὁ ὕπαρχος τοῖς ἔργοις ἐπέχεε τοῦ ἱεροῦ, μηδενὸς

v. 3 πειθει *O*, corr. *F* 6 [ανα]φεις *O*, corr. *B* 7 ατυχεσιν *O*, ἀτυχήσεσιν coni. *F*, τεύχεσιν coni. F. Skutsch 8 ἐμπλακέντος *O*, corr. *B* 9 . . . . . . ωπος *O*, quod supplevi; ⟦ὡς θεόπαις⟧ scripsit *F* | φανερος *O*, quod correxi 18 συμφερούντων *O*, corr. *B* 19 supplevi 21 ἔχων *O*, ἐξ ὧν corr. F 24 καὶ τῇ *O*, καὶ del. *F* ep. p. 45 26 ἐπεχεν O, ἐπέσχε coni. F, corr. B

ἀδικουμένου μηδὲ τῆς τυχούσης εὐετηρίας εἰς ἀσεβῆ ποίησιν ἐπινοηθείσης· ἔχαιρε γὰρ ἠξιωμένος εἰς θεοῦ τιμὴν καὶ σπουδὴν εὐσεβείας παρατεινόμενος. καὶ θαυμάζειν οὐκ ἔνεστιν, εἰ θεοῦ παρόντος πάντα παρεῖναι συμβαίνει τοῖς αὐτῷ μᾶλλον ἢ περινοίαις ἀνθρώπων τὴν ἀφθονίαν τῶν ἀγαθῶν ἀναφέρουσιν. ἡ δὲ τάξις, καθάπερ ⟨εἴ⟩ τις σβεννυμένης ἤδη φλογὸς ἔλαιον ἀφθόνως ἐπιχέει, ἀνέλαμψε· καὶ θόρυβος ἦν τοῖς πραττομένοις χαρίεις καὶ κέρδη σώφρονα καὶ φίλα τῷ νόμῳ τοῖς ὑπηρετοῦσιν ἠκολούθει καὶ τὸ τέμενος τῆς δίκης ἀνεῴγει καὶ ῥήτορες [τοῖς λό]γοις ἐνέπρεπον καὶ βιβλίων προαγωγαὶ καὶ φιλονεικία [ἐφ' ὅ]λον τὸ χρῶμα ἐπανῄει τοῦ πολιτεύματος, ὁ . . . .

v. 5 αὐτον *O*, αὐτῷ corr. *F* 7 εἰ add. *F* ep. p. 45 12 φιλονικία *O*, corr. *F* | lacunam explevit *F* 13 ἐπανιη *O*, corr. *F* | post πολιτεύματος ὁ reliqua desunt in *O*

INDICES.

(Rerum potiorum indicem prooemio Ioannes inseruit, editionis p. 3—7. quae infra asterisco notantur nomina, in Lydiano *de mensibus* opere recurrunt.)

I.

INDEX AUCTORUM.

II.

INDEX GLOSSARUM.

A. Glossae latino graecae.

a. Latinis litteris redditae.

b. Graecis litteris redditae.

B. Glossae gallograecae.

C. Glossa germanograeca.

D. Glossa punicograeca.

E. Glossa sabinograeca.

III.

INDEX NOMINUM.